Est itaque prima ejus appellatio, Filius. « Ne timeas enim, inquit, Zacharia; ecce Elisabeth pa-

A γῆς. Ἡ πηγὴ τοῦ ὕδατος, ἔστω σοι ἰδία, καὶ συνευφραίνου μετὰ γυναικὸς, τῆς ἐκ νεότητός σου. Ἐν γὰρ τῇ ταύτης φιλίᾳ συμπεριφερόμενος, πολλοστὸς ἔσῃ. » Καὶ αὖθις· « Μὴ πολὺς ἴσθι πρὸς ἀλλοτρίαν, μηδὲ συνέχου ἀγκάλαις ταῖς μὴ ἰδίαις. Ἐνώπιον γάρ εἰσιν τῶν τοῦ Θεοῦ ὀφθαλμῶν, ὁδοὶ ἀνδρός. Μὴ δῷς ὕπνον σοῖς ὄμμασιν, μηδὲ ἐπινυστάξῃς σοῖς βλεφάροις· ἵνα σώσῃ ὥσπερ δορκὰς ἐκ βρόχων, καὶ ὥσπερ ὄρνεον ἐκ παγίδος. » Καὶ αὖθις· « Μή σε νικησάτω κάλλους ἐπιθυμία, μηδὲ ἀγρευθῇς σοῖς ὀφθαλμοῖς, μηδὲ συναρπασθῇς ἀπὸ τῶν αὐτῆς βλεφάρων. Γυνὴ γὰρ, ἀνδρῶν τιμίας ψυχὰς ἀγρεύει. Ὁδοὶ δὲ ᾅδου, ὁ οἶκος αὐτῆς, κατάγουσαι εἰς τὰ ταμιεῖα θανάτου. Σὺ δὲ, υἱὲ, ἄκουέ μου, καὶ μὴ ἐκκλινάτω εἰς τὰς ὁδοὺς αὐτῆς ἡ καρδία σου, καὶ μὴ πλανηθῇς ἐν ἀτραποῖς B αὐτῆς. Πολλοὺς τρώσασα καταβέβληκεν, καὶ ἀναρίθμητοί εἰσιν, οὓς πεφόνευκεν. » — « Σὺ δὲ μὴ ἐπιστήσῃς τὸ σὸν ὄμμα πρὸς αὐτήν· ἀλλὰ ἀποπήδησον· μὴ χρονίσῃς ἐν τῷ τόπῳ· οὕτως γὰρ διαβήσῃ ὕδωρ ἀλλότριον. Ἀπὸ δὲ ὕδατος ἀλλοτρίου ἀπόσχου, καὶ ἀπὸ πηγῆς ἀλλοτρίας μὴ πίῃς, ἵνα πολὺν ζήσῃς χρόνον, καὶ προστεθήσεταί σοι ἔτη ζωῆς. » Ἱκανὰ μὲν καὶ ταῦτα σωφρονίσαι τοὺς νωθεστέρους, οἷς ἀπαρχόντως ἡμᾶς ὁ Παροιμιακὸς κατησφαλίσατο λόγος· ὁ τῆς σώφρονος γλώσσης ἐκείνου τοῦ θεσπεσίου συνήγορος· τοῦ σεβασμίου, φημὶ, Βαπτιστοῦ· ὃς ταύτην ἡμῖν παρέθηκεν τὴν τράπεζαν σήμερον· οὐ πεφοινιγμένην αἵμασιν· οὐ νεοσφαγῆ κεφαλὴν προτιθεμένην ὡς ἔδεσμα· οὐ συνεχχέουσαν τῷ λύθρῳ τοῖς κρατῆρσι τὸν ἄκρατον. C Ταῦτα τῆς Ἡρώδου παρανομίας [82] τὰ ἐπίχειρα· τούτοις ἐκεῖνος ἑστιᾷ τὸ συμπόσιον· τοιαῦτα κίρνησι τοῖς συμπόταις ἐκεῖνος τὰ πόματα. Οὐχ ὁ ἡμέτερος συμποσιάρχης· ἄπαγε! Τοὐναντίον μὲν, ἀνδρείας καὶ σωφροσύνης ἡμῖν ἑστιάσατο δεῖπνον, οὗ τῶν ὄψων ἐμφορηθέντες, βελτίους γεγόναμεν.

Ἐπεὶ οὖν τὸ μέγα τῆς Ἰωάννου πρὸς Ἡρώδην ἑστιάσεως διαπορθμεύσαντες πέλαγος, ἐφ' ὅρμον γαλήνιον ταῖς αὐτοῦ πρὸς Θεὸν εὐκτικαῖς κατηντήκαμεν αὔραις, καιρὸς ἤδη τὰ ἱστία χαλάσαντας, εἴσω λιμένων διαναπαῦσαι τοῦ λόγου τὴν εἰρεσίαν. Δίκαιον δὲ οἶμαι (καὶ γὰρ τοὺς πλωτῆρας ἔθος τοῦτο ποιεῖν), καὶ ἡμᾶς ὅσιά γε πράττοντας, μικρὸν παρενεῖραι λόγον τῷ ἐπιλόγῳ, καὶ Γραφικοῖς ἄνθεσι στεφανῶσαι D τὸν ἄνδρα· εἴ γε καὶ ἄνδρα χρὴ λέγειν, τὸν πάντων ἀνθρώπων ἐν γεννητοῖς γυναικῶν ἀναφανέντα μείζονα. Οὗτος γάρ ἐστιν, ὃν πολλαχοῦ τῆς Γραφῆς φερόμενον πολυσήμως εὑρήσομεν, τῷ φιλοπόνῳ τῆς μελίσσης ταύτην ἐμπεριερχόμενοι. Πολλὰς γὰρ αὐτοῦ τὰς προσηγορίας ἡμῖν ἐνεποίησεν ἡ τῶν πραγμάτων περιωπή· ὧν ἑκάστῃ τὴν προσήκουσαν μαρτυρίαν παραθεὶς, τὸ ἀξιόλογον τῶν ὀνομάτων δείκνυμι.

Ἔστι γοῦν αὐτοῦ ἡ πρώτη κλῆσις, Υἱός. « Μὴ φοβοῦ γὰρ, Ζαχαρία, φησίν· ἰδοὺ Ἐλισάβετ γεννήσει

[c] Prov v, 15-17. [d] Prov. vi, 4, 5, 25, 26. [e] Prov. vii, 24-27. [f] Prov. ix, 19, sec. LXX.

VARIÆ LECTIONES.

[82] Interpr. Lipom. legit. παροινίας.

καὶ πολλοὶ ἐν τῇ γεννήσει αὐτοῦ χαρήσον- A
· « Τῇ δὲ Ἐλισάβετ ἐπλήσθη ὁ χρόνος τοῦ
ῖν, καὶ ἐγέννησεν υἱόν. » Βρέφος · « Καὶ
ὡς ἤκουσεν ἡ Ἐλισάβετ τὸν ἀσπασμὸν τῆς
ἐσκίρτησεν τὸ βρέφος ἐν τῇ κοιλίᾳ αὐτῆς,
ήσθη Πνεύματος ἁγίου ἡ Ἐλισάβετ. Ἰδοὺ
γένετο ἡ φωνὴ τοῦ ἀσπασμοῦ σου εἰς τὰ ὦτά
ιν, ἐσκίρτησεν τὸ βρέφος ἐν ἀγαλλιάσει ἐν τῇ
ιυ.» Παιδίον· « Καὶ σὺ δὲ, παιδίον [προφήτης]
' κληθήσῃ. Τὸ δὲ παιδίον ηὔξανε, καὶ ἐκρα-
πνεύματι, καὶ ἦν ἐν ταῖς ἐρήμοις, » καὶ τὰ
γας · « Οὗτος ἔσται μέγας ἐνώπιον Κυρίου,
καὶ σίκερα οὐ μὴ πίῃ· καὶ Πνεύματος ἁγίου
ιται, ἔτι ἐκ κοιλίας μητρὸς αὐτοῦ. » Ἰωάν-
ιὶ ἐγένετο τῇ ὀγδόῃ ἡμέρᾳ, ἦλθον περιτεμεῖν
ιν, καὶ ἐκάλουν αὐτὸ ἐπὶ τῷ ὀνόματι τοῦ B
αὐτοῦ, Ζαχαρίαν. Καὶ ἀπεκρίθη ἡ μήτηρ
ιὶ εἶπεν· Οὐχί· ἀλλὰ κληθήσεται Ἰωάννης.
ζαρίας ὁ πατὴρ αὐτοῦ αἰτήσας πινακίδιον,
Ἰωάννης ἔσται τὸ ὄνομα αὐτοῦ. » Ἄνθρω-
γένετο ἄνθρωπος ἀπεσταλμένος παρὰ Θεοῦ,
τῷ Ἰωάννης. » Προφήτης· « Τί ἐξήλθετε
ἔρημον θεάσασθαι; προφήτην; Ναὶ, λέγω
ι περισσότερον προφήτου. Πάντες γὰρ οἱ
ι καὶ ὁ νόμος, ἕως Ἰωάννου προεφήτευσαν.»
Καὶ εἰ θέλετε δέξασθαι· « Αὐτός ἐστιν Ἠλίας
' ἔρχεσθαι. » — « Καὶ αὐτὸς προελεύσεται
Κυρίου ἐν πνεύματι καὶ δυνάμει Ἠλιοῦ. »
.ος· « Ἦλθον δὲ καὶ τελῶναι βαπτισθῆναι,
' πρὸς αὐτόν· Διδάσκαλε, τί ποιήσωμεν; » C
ἑξ. Ἑτοιμαστής · « Προπορεύσῃ γὰρ πρὸ
ιυ Κυρίου ἑτοιμάσαι ὁδοὺς αὐτοῦ. » Κῆρυξ·
το Ἰωάννης βαπτίζων ἐν τῇ ἐρήμῳ, καὶ
ν βάπτισμα μετανοίας εἰς ἄφεσιν ἁμαρτιῶν.
ρυξεν λέγων· Ἔρχεται ὁ ἰσχυρότερός μου
ιυ, » καὶ τὰ ἑξ. Φωνή · « Τίς εἶ, ἵνα ἀπό-
ῶμεν τοῖς πέμψασιν ἡμᾶς; τί λέγεις περὶ
; Ἔφη· Ἐγὼ φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ. »
ής · « Παραγίνεται ὁ Ἰησοῦς ἀπὸ τῆς Γαλι-
ἰ τὸν Ἰορδάνην, τοῦ βαπτισθῆναι ὑπ' αὐ-
' δὲ Ἰωάννης βαπτίζων, καὶ παρεγένοντο
καὶ ἐβαπτίζοντο. » Ὁμολογητής· « Καὶ
σεν, καὶ οὐκ ἠρνήσατο, καὶ ὡμολόγησεν, ὅτι
. ἐγὼ Χριστός. » Μάρτυς· « Οὐκ ἦν ἐκεῖνος
ἀλλ' ἵνα μαρτυρήσῃ περὶ τοῦ φωτός · » καὶ D
ριάδος ὑπογραφεύς · « Ἀλλ' ὁ πέμψας με,
απτίζειν ἐν ὕδατι, ἐκεῖνός μοι εἶπεν· Ἐφ'
ς τὸ Πνεῦμα καταβαῖνον, καὶ μένον ἐπ' αὐ-
ός ἐστιν ὁ βαπτίζων ἐν Πνεύματι ἁγίῳ.
ρακα, καὶ μεμαρτύρηκα, ὅτι οὗτός ἐστιν ὁ
Θεοῦ. » Δίκαιος καὶ ἅγιος · « Ὁ δὲ Ἡρώ-
εῖτο τὸν Ἰωάννην, εἰδὼς αὐτὸν ἄνδρα δίκαιον
. » Ἀπόστολος · « Αὐτοὶ ὑμεῖς μαρτυρεῖτε,
' Οὐκ εἰμὶ ἐγὼ ὁ Χριστός· ἀλλ' ὅτι Ἀπεσταλ-
ιὶ ἔμπροσθεν ἐκείνου.» Εὐαγγελιστής· « Πολ-

riet tibi filium, et multi in nativitate ejus gaudebunt. » — « Elisabeth autem impletum est tempus pariendi, et peperit filium g. » Infans : « Et factum est, postquam audivit salutationem Mariæ Elisabeth, exsultavit infans in utero ejus : et repleta est Spiritu sancto Elisabeth h. » — « Ecce enim ut facta est vox salutationis tuæ in auribus meis, inquit, exsultavit in gaudio infans in utero meo i. » Puer : « Et tu puer Propheta Altissimi vocaberis. Puer autem crescebat, et confortabatur spiritu, et erat in desertis j, » etc. Magnus : « Hic erit magnus coram Domino : et vinum et siceram non bibet, et Spiritu sancto replebitur, adhuc ex utero matris suæ k. » Joannes : « Et factum est in die octavo, venerunt circumcidere puerum, et vocabant eum nomine patris sui, Zachariam. Et respondens mater ejus, dixit : Nequaquam : sed vocabitur Joannes. Et Zacharias pater ejus, postulans pugillarem, scripsit : Joannes est nomen ejus l. » Homo : « Fuit homo missus a Deo, cui nomen erat Joannes m. » Propheta : « Quid existis in desertum videre? Prophetam? Etiam dico vobis, et plus quam prophetam. Omnes enim prophetæ et lex, usque ad Joannem prophetaverunt n. » Elias : « Et si vultis scire, ipse est Elias qui venturus est o. » -- « Et ipse præcedet ante Dominum in spiritu et virtute Eliæ p. » Magister : « Venerunt autem et Publicani ut baptizarentur, et dixerunt ad illum : Magister, quid faciemus q, » etc. Præparator. « Præibis enim ante faciem Domini parare vias ejus r. » Prædicator : « Fuit Joannes baptizans in deserto, et prædicans baptismum pœnitentiæ in remissionem peccatorum. Et prædicavit dicens : Venit fortior me post me s, » etc. Vox : « Quis es, ut responsum demus iis, qui miserunt nos? Ait : Ego vox clamantis in deserto t. » Baptista : « Venit Jesus a Galilæa in Jordanem, ut baptizaretur ab eo u. » — « Erat autem Joannes baptizans, et veniebant omnes, et baptizabantur. » Confessor : « Et confessus est, et non negavit : et confessus est, quia non sum ego Christus v. » Martyr ac testis : « Non erat ille lux; sed ut testimonium perhiberet de lumine x, » etc. Trinitatis subscriptor : « Sed qui misit me, inquit, baptizare in aqua, ille mihi dixit : Super quem videris Spiritum descendentem, et manentem super eum, ipse est qui baptizat in Spiritu sancto : Et ego vidi, et testimonium perhibui, quia hic est Filius Dei y. » Justus et sanctus : « Herodes autem metuebat Joannem, sciens eum virum justum et sanctum z. » Apostolus, id est, missus. « Ipsi vos mihi testimonium perhibetis, quod dixerim . Non sum ego Christus; sed quia missus sum ante illum a. » Evangelista : « Multa quidem et alia exhortans, evangelizabat populo b. » Pronubus : « Qui habet

. I, 13, 14, 57. h ibid. 41. i ibid. 44. j ibid. 76. k ibid. 15. l ibid. 59-63. m Joan. I, 6. XI, 7, 13. o Matth. XI, 14. p Luc. I, 17. q Luc. III, 12. r Luc. I, 76. s Marc. I, 4, 7. I, 22. u Matth. III, 13; Marc. I, 4. v Joan. I, 20. x ibid. 8. y ibid. 33, 34. z Marc. VI, 20. III, 28. b Luc. III, 18.

κ σιγῶντος φωνή, ὁ τῇ ἀφωνίᾳ τοῦ πατρὸς τὸ ἰφελὼν τῆς στειρώσεως, ὁ τὸν ἀμνὸν ὑποδεί-λαλοῦντι δακτύλῳ, τὸ μέγα τῆς ἐγκρατείας , ὁ ἐν σώματι ἄσαρκος, ὁ ἐν πηλῷ μαργαρί-ν ὀστρακίνῳ σκεύει πολυτελὴς θησαυρὸς, ὁ]τὴν τομὴν προσεπάγων τῇ τῶν ψυχῶν ἀκαρ-ριλέρημος τῆς Ἐκκλησίας τρυγὼν, τὸ ἀσίγη-ια, ἡ πανταχοῦ βροντῶσα « φωνὴ τοῦ βοῶν-ῇ ἐρήμῳ· Ἑτοιμάσατε τὴν ὁδὸν τοῦ Κυρίου· ποιεῖτε τὰς τρίβους αὐτοῦ· » ἡ θεοῤῥήμων , ἧς ἡ φωνὴ, καὶ μετὰ τὸ τέλος τὸν Ἡρώδην , καὶ τὸν ἐρχόμενον κηρύττει· « Μετανοεῖτε, ἤγγικεν ἡ βασιλεία τῶν οὐρανῶν. » Αὐτῷ ἡ ιαὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

A tura; vox orta ex muto, qui silentio paterno sterilitatis abstulit infecunditatem, qui loquente digito Agnum ostendit; magna illa continentiæ gloriatio, carnis expers in corpore, margarita in cœno, pretiosus in fictibili vase thesaurus, qui securi, animarum amputat sterilitatem; solitudinis amans Ecclesiæ turtur; eos silere nescium: Vox ubique tonans clamantis in deserto: « Parate viam Domini: rectas facite semitas ejus [1]; » deiloqua lingua, cujus vox post etiam obitum Herodem reprehendit, et eum prædicat, qui est venturus, dicens: « Pœnitentiam agite; appropinquavit regnum cœlorum [m]. » Ipsi gloria et potestas in sæcula sæculorum. Amen.

B

ΛΟΓΟΣ ΙϚ'.

Ἅγιον, καὶ μακάριον, καὶ πανεύφημον τοῦ Χριστοῦ ἀπόστολον Τίτον.

ORATIO XVI.

In sanctum et beatum, celebratissimumque Christi apostolum Titum.

(Galland., t. XIII, 156.)

στολικῶν ἐγκωμίων ἐφάπτεσθαι μέλλοντι, » μοι τὸ Πνεῦμα, καὶ διδότω λόγον ὁπόσον καὶ ιι. Φιλεῖ γὰρ ἀεὶ συμπαρεῖναι τοῖς δι' αὐτοῦ ἠρημένοις, ὥσπερ ἤδη πρότερον γλώσσαις καθιεμέναις, ἐφ' ἕνα ἕκαστον καταφοιτῆσαν ιστοῦ μαθητῶν ἐπεκάθισε. Παρήτω δὲ, μὴ ιν τῆς ἐμῆς ἐκμετροῦν ἀναβάσεως, ἀλλὰ τῷ τῆς εἰς ἡμᾶς ἀγαθοπρεποῦς θεουργίας, τὴν τλάσιον αὐτοῦ χάριν ἡμῖν ἐπιδαψιλεῦσον. Εἴη ὑμῖν τοῖς αὐτόθεν ἀφθόνως ἐκβλυζομένης σίας τυχεῖν ἐφιεμένοις, τὰ αὐτά μοι συνεύ-καὶ εἰπεῖν· Κύριε, γνώρισόν μοι, καὶ γνώσο-ῦ γνῶναι ἡνίκα δεῖ εἰπεῖν λόγον· « Καὶ μὴ]ς ἐκ τοῦ στόματός μου λόγον ἀληθείας ἕως . » Οὕτω μὲν οὖν πρὸς τὸ μέγεθος ἀφορῶντας ικειμένου σκοποῦ, δεῖ πάντως ἡμᾶς εὐκτικῶς ἰνειν τῷ Πνεύματι, καὶ παρ' αὐτοῦ τὰ κατ' ἔχειν ἐν τῷ ὑπὲρ ἀξίαν αἰτεῖν, ὡς ἂν μὴ λόγῳ ισθείη τὸ εὐφημούμενον. Ποθεῖτε δὲ πάντως τί ποτέ ἐστιν ἄρα τὸ νῦν εὐφημούμενον. Τὸ ἤλως ἐστὶν ὁ θεσπέσιος Τίτος ὁ πρῶτος τῆς ν Ἐκκλησίας θεμέλιος, τῆς ἀληθείας ὁ στύ-τῆς πίστεως ἔρεισμα τῶν ἀληθῶν δογμάτων ιλος. Τίτος τῶν εὐαγγελικῶν κηρυγμάτων ἡ ος σάλπιγξ, τὸ ὑψηλὸν τῆς Παύλου γλώττης ια, τῆς ἀπλάνου γνώσεως ὁ κανών. Οὗτος μέγας ἑστιάτωρ τὴν πνευματικὴν πανδαι-ὶν λόγων συνεκάλεσε τήμερον· ὄψα μὲν προ-μυστικὰ τῆς ἀγράφου σοφίας· εἴτε θαύματα γειν, εἴτε δόγματα· κρατῆρα δὲ ὑπερφερῆ καὶ ρνώμενον πόματι, τὸν συνεκτικὸν τῆς θείας ιλίας λόγον οἱονεὶ προχεόμενόν τε καὶ μετεχό-Λόγον δὲ τὸν ὀξὺν καὶ τομώτατον ὑπὲρ πᾶσαν

Aggressuro mihi encomia apostolica, adsit Spiritus sanctus, eamque sermonis vim tribuat, quam et opto. Libens quippe iis semper adest, qui afflante ipso cupiunt loqui: quemadmodum jam olim, linguis de cœlo missis, supra singulos Christi discipulos descendens sedit. Adsit vero, non pro mei ascensus ratione, sed pro divinæ in nos bonæ illius operationis magnitudine, immensum multiplicem gratiam suam large nobis exhibiturus. Operæ vero pretium fuerit, ut et vos, qui copiosum ab eo C fonte manans lumen assequi studeatis, eadem mecum precemini, ac dicatis: Doce me, Domine, et sciam (29); ut noverim quando oporteat me loqui verbum: « Et ne auferas verbum veritatis ex ore meo usque valde [n]. » Sic sane animum intendentibus in subjecti argumenti præstantiam, fuerit omnino adeundus cum precibus divinus Spiritus, atque ab eo petendum, ut pro dignitate concesserit dicere, in eo quod dignitatem superat, ut ne quod præconio celebrandum assumimus, sermone infametur vilescatque. Plane vero desideratis scire quidnam lætis præconiis celebrandum incumbat? Utique admirabilis ille et divinus Titus, primum illud Cretensis Ecclesiæ fundamentum, columna illa veritatis, fidei firmamentum, dogma-D tum veritatis præsidium. Titus, inquam, Evangelicarum prædicationum nescia silentii tuba, sublimis Paulinæ linguæ resonantia, veræ scientiæ regula. Hic nos magnus conviva ad spiritale splendidissimum hodierna die convocavit sermonum epulum: ceu quidem edulia mystica non scriptæ sapientiæ, sive miracula oportet dicere sive dogmatica; ceu autem præclarum craterem, ac di-

an. I, 23. [m] Matth. III, 2. [n] Psal. CXVIII, 43.

COMBEFISII NOTÆ.

Doce me, Domine, et sciam, etc. Videtur allu-d verba Pauli Ephes. IV, 20. Forte vero l locum aliquem Proverbiorum juxta aliam lectionem illi affinem, *Mala aurea in lectis argenteis, sic qui loquitur verbum in tempore suo* (XXV, 11).

vino temperatum potu, divinam doctrinam velut summa complexum sermonem, qui participandus proponetur, propinans. Sermonem, inquam, illum acutum, penetrabilissimumque supra omnem gladium ancipitem, et pertingentem usque ad divisionem carnis et spiritus, ut paulo inferius velut per orationis speciem Dei amantibus ac religioso cœtui sum expositurus. Interim vero, quæ et vos amanter audieritis, et mihi dicere congruum est, hæc dicam.

μάχαιραν δίστομον, καὶ διιχνούμενον ἄχρι μερισμοῦ σαρκὸς καὶ πνεύματος, ὡς δὴ μικρὸν ὕστερον, ὡς ἐν ἐπιλόγου τάξει τοῖς φιλοθέοις ἐκθήσομαι. Νῦν δὲ, ἃ φίλον τέως ὑμῖν μὲν ἀκούειν, ἐμοὶ δὲ λέγειν εἰκὸς, ταῦτα λελέξεται.

Maximi itaque patris dies festus advenit. Adeste vero, atque ut benevoli filii, patri filiorum amanti laudum cantica offeramus. Hoc enim nostrum in ipsum debitum est. Sit nobis templum hoc communis ad submittenda divina cantica locus, ac velut organum. Cæterum det nobis sermonem Pater ille Sermonis, sermonem nostrum ad inveniendam veritatem dirigens. Merito autem congruum fuerit, ut qui patris partes sustineam, apiculæ instar operosius circumlustratis spiritalibus pratis, inde vobis sacro ab sacris eloquiis serto coronatum virum exhibeam. Vereor autem ne a recti cursus carceribus clanculum excurrens sermo propositi certaminis metas excedat; ac ne tumultuarius spectatorum rumor, alio quam tendat cursus spectaculum convertens, eadem spectatores spes coerceat edantque inanem et inefficacem sermonem, qui sermonis sessorem provocant. Enimvero quanquam necesse est, ut multis retro spatiis viri dignitatem sequatur oratio (ita enim encomiorum exigit lex); sancti nihilominus ad Deum intercessionibus, ceu quibusdam infrenatum loris, ubi ad recti itineris cursum vehementius instigavero, ad metam deinceps reducam. Plane enim acceptum erit quod facultatis est. Nam et novit a natura modeste agere, « ac se humilibus accommodare *, » in hoc quoque Paulum imitatus. Age igitur dicamus, si quid nobis concessum est. Nec vero quisquam vituperandum putaverit, velut ex adverso excellentium viri encomiorum nostrum sermonem ingeramus. Non enim velut suppetat vis orationis; sed magis desiderio in sanctum, quæ vim superant præsumimus. Ubi autem est desiderium, palam est sublatum esse timorem omnem : atque ubi libera est sermonum libertas, ne minimæ timiditatis reliquiæ consistunt. Cavendum ergo ne nullo modo dicamus quæ facultas concedit, ac ne sileamus quæ sanctum fuerit prædicare, nolente Spiritu oblivionis profundo tegi. Vult siquidem ut modeste et vel aliqua parte nescientibus declarentur : quippe justum est, quo ad æmulanda imitandaque ceu ex commisso inducantur. Quamobrem haudquaquam silentium mihi in præsentiarum e re judico. Etenim jam venit oratio ad ipsum rei propositæ caput, ad quod, et cujus gratia nostrum omne desiderium est.

Μεγίστου τοίνυν πατρὸς ἐφέστηκεν ἑορτή. Καὶ δεῦρο, καθάπερ παῖδες εὐγνώμονες τῷ φιλόπαιδι πατρὶ τοὺς ὕμνους προσάξωμεν. Τοῦτο γὰρ αὐτῷ παρ' ἡμῶν ἐποφείλεται χρέος. Γενέσθω κοινὸς οὗτος ἡμῖν ὁ νεὼς τῶν θείων ὕμνων ἐπιβατήριος. Καὶ δότω λόγον ἡμῖν ὁ τοῦ Λόγου Πατὴρ, τὸν ἡμέτερον χειραγωγῶν πρὸς τὴν τῆς ἀληθείας εὕρεσιν. Πρέποι δ' ἂν εἰκότως ἐμοὶ πατρὸς ἐπέχοντι τάξιν, τοὺς πνευματικοὺς λειμῶνας μελίσσης δίκην ἐμπεριελθόντι φιλοπονώτερον, αὐτόθεν ὑμῖν ὑποστῆσαι τὸν ἄνδρα, πρὸς τῶν ἱερῶν λογίων ἱερῶς στεφανούμενον. Δέδοικα δὲ, μὴ τοῦ κατ' εὐθὺ δρόμου τῆς βαλβῖδος ὑπεκδραμὼν ὁ λόγος, ἐξαγώνιος γένηται· καὶ ὁ παρὰ τῶν θεατῶν ἀπηχούμενος θροῦς, ἐπ' ἄλλα τοῦ δρόμου τὴν θέαν μετάγων, τῆς ἐλπίδος τοὺς θεατὰς ἐπικόπτοιτο· τήν τε κραυγὴν ἀργὴν ποιοῖντο καὶ ἄπρακτον, οἱ τοῦ λόγου τὸν ἐπιβάτην ἐρεθίζοντες. Πλὴν ἀλλ' εἰ καὶ πολύ που τῆς τοῦ ἀνδρὸς ἀξίας κατόπιν ἀνάγκη τὸν λόγον ἐλθεῖν· τοῦτο γὰρ ὁ τῶν ἐγκωμίων βούλεται νόμος· ταῖς γοῦν τοῦ ἁγίου πρὸς τὸ θεῖον ἐντεύξεσιν, οἱονεί τισι ῥυτῆρσι τοῦτον ἀναστομώσας, εἶτα πρὸς τὴν κατ' εὐθὺ πορείαν ᾄττειν σφοδρῶς παραθήξας, ἐπὶ τὴν νύσσαν αὖθις μετάγοιμι. Φίλα γὰρ ἔσται πάντως αὐτῷ τὰ κατὰ δύναμιν· ὅτι τε μετριάζειν οἶδεν ἐκ φύσεως, « καὶ τοῖς ταπεινοῖς συναπάγεσθαι, » Παῦλον κἀνταῦθα μιμούμενος. Φέρε δὲ οὖν λέγωμεν, ὅσα λέγειν ἡμῖν ἐπιτέτραπται. Καὶ μή τις ἡμᾶς μωμήσοιτο τῷ περιόντι τῶν τοῦ ἀνδρὸς ἐγκωμίων τὸν ἡμέτερον ἀντεπεξάγοντας· ὅτι μὴ λόγου δύναμιν ἔχοντες, πόθῳ δὲ τῷ πρὸς τὸν ἅγιον, τῶν ὑπὲρ δύναμιν ἐφαπτόμεθα. Ἔνθα δὲ πόθος, ἐκεῖ προδήλως φόβος ἅπας ἀφῄρηται· καὶ ὅπου λόγων ἐλευθερία παῤῥησιάζεται, δειλίας οὐ παρυφίσταται λείψανον. Παραιτητέον οὖν οὐδαμῶς εἰπεῖν τὰ εἰς δύναμιν, οὐδὲ σιωπητέον, ἃ κηρύττειν ὅσιον· ὅτι μὴ λήθης ταῦτα βυθοῖς τὸ Πνεῦμα συγκαλύπτεσθαι βούλεται. Βούλεται γὰρ μετρίως γέ πως αὐτὰ τοῖς οὐκ εἰδόσιν ἐκφανθῆναι· δίκαιον γάρ· ὡς ἂν πρὸς ζῆλον καὶ μίμησιν αὐτοὺς προτροπάδην ἐνάγοιεν. Ὥστε μοι τὴν σιωπὴν οὐκ ἀναγκαίαν εἶναι ἐν τῷ παρόντι δοκῶ. Καὶ γὰρ ἧκεν ὁ λόγος ἡμῖν ἐπ' αὐτὸ τοῦ σκοποῦ τὸ κεφάλαιον, ἐφ' ὃ καὶ δι' ὅπερ ἡμῖν ὁ πᾶς ὥρμηται πόθος.

Quis itaque magnus hic et conspicuus Titus, quem nostra duodecim glorians sedibus (30), velut

Τοιγαροῦν ὁ μέγας οὗτος καὶ περίβλεπτος Τίτος, ὃν ἡ καθ' ἡμᾶς ἠνέγκατο δωδεκάθρονος Κρήτη,

* Rom. xii, 16.

COMBEFISII NOTÆ.

(30) *Duodecim glorians sedibus*. Δωδεκάθρονος. Pauciores nunc habet, ut fuit valde minutus urbium numerus : qua de re Ortelius et alii in Cretæ tabulis et descriptionibus.

ιχῷ τετιμημένη συμβολικῶς ἀριθμῷ. Τίς ἐτύγχανε τὰ πρῶτα, καὶ οἵων ἔφυ γονέων, ὁποιασοῦν ῥίζης ἐξεβλάστησε ὅρπηξ, λέγειν γκαῖον ἐμοί· ὅτι μὴ κατὰ βίου διήγησιν, ἢ τορίας νόμον, ὁ παρών μου συντέτακται ;λὴν εἰ μὴ κατ' ἐγκωμίου δύναμιν παροδι-εδίασται. Φιλεῖ γὰρ ὡς τὰ πολλὰ τῶν ἐγκω-ων ὁ λόγος, τοὺς πολυσχιδεῖς τῶν μακρῶν ιν ἀφηγημάτων διαύλους, ὡς ἂν μὴ τῶν ων ἀποκναισθέντες τινὲς, προσκορῆ τὸν γοῖντο, τῇ ἀηδίᾳ τῆς μακρηγορίας βαρούμε-ῶ δὲ ἃ συνοίσειν οἶδα τοῖς τε συνειλεγμέ-λοὶ τῷ τὴν πνευματικὴν τῶν λόγων ὑμῖν παν-προτείνοντι, ταῦτά φημι, τοῦ λόγου τὴν ἀρχὴν ποιούμενος, ὅθεν αὐτὸν ἡμῖν ἡ χάρις ἐγνώ-

A apostolico symbolice, honestante numero, Creta tulit? Quis a prima ætate fuerit, quibusve natus parentibus, ac ex qua demum radice surculus germinaverit, haudquaquam habuerim opus dicere; qui non velut enarrando vitam, ac juxta historiæ legem, huncce sermonem composuerim, nec nisi pro encomii ratione obiter erudierim. Quippe sole plerumque encomiastica oratio magnarum narrationum veluti reciprocos ac multiplices vitare circuitus, ut ne qui auditores injucunda prolixitate offensi gravatique, tædiosum sermonem existimaverint. Equidem si qua novero conducibilia, tum collecto cœtui, tum mihi ipsi qui spiritale vobis sermonum convivium appono, hæc dicam, inde sermonis dicto exordio, unde eum nobis gratia

B notum fecit.

ηδὼν γὰρ οὗτος καὶ γένους καὶ πλούτου καὶ εἰας ἁπάσης, ὅση τε καθ' Ἕλληνας ἐκράτει λ ὅση παρὰ τῶν σεβόντων τὰ εἴδωλα περι-δόξα· πάντων τε καταφανῶς ἀλογήσας, μιᾶς ι δόξης, τοῦ πᾶσαν μὲν ἀφεῖναι τὴν πάτριον ιν καὶ δεισιδαίμονα πλάνην, μόνης δὲ τῆς ἂς Ἰησοῦ θεοσοφίας κατὰ μέθεξιν ἄῤῥητον υῶς ἐπιδράξασθαι, καὶ ὅλος ὅλου γενέσθαι ιτοῦ, καὶ τῆς Χριστιανικῆς μερίδος. Καὶ δὴ ·νῆτο, προσκεκληκότος αὐτὸν τοῦ Θεοῦ, καὶ α φωτίζοντι πνεύματι τὰς τρίβους αὐτῷ τῆς ; ἐπὶ τὸ εὐαγγελικὸν διομαλίσαντος κήρυγμα. ιν τῷ φαεινῷ λαμπτῆρι τῆς ἀποστολικῆς ως, Παύλῳ δὴ λέγω, τῷ κατὰ νόμον ἐννόμως, ἰ χάριν ἐν χάριτι διαπρέψαντι, συμπλακεὶς, καὶ συνέκδημος γίνεται· καὶ τὸν ἐκείνου ῥ ἴσῳ ζήλῳ μιμούμενος, ζηλωτὴς καὶ αὐτὸς ·υται. Καὶ δὴ μεταστάτης τοῦ πατρῴου νό-μενος, καὶ τῆς ἐθνικῆς ἐννοίας τὴν διάκενον σκείαν ἀποσκευασάμενος, εἰς οὐρανὸν ὅλον μετέθηκε τὸ πολίτευμα. Ὁ δὲ μικροῦ με παραδραμεῖν οὐχ ὅσιον. Ἔτυχε τουτονὶ τὸν τοῦ Χριστοῦ μαργαρίτην, τὸν πολυτελῆ λέγω ὐχ ἧττον ἢ τὸν τοῦ Ζοροβάβελ λίθον ἑπτὰ ἰς κοσμούμενον, ὅσῳ καὶ τῶν χαρίτων κατ-τὸν στέφανον, συγγενέα τὸν τηνικάδε τῆς νθύπατον ἔχειν, καὶ τοὺς κατὰ γένος προσ-, οἷς Μίνως καὶ Ῥαδάμανθυς οἱ ἐκ Διὸς ρωτόγονοι.

Hic enim, et genere spreto et divitiis, omnique splendore, ac si qua id temporis apud Græcos obtineret (31), si qua etiam ab idolorum cultoribus undique affusa gloria esset, omnibusque perspicue neglectis, hanc unam gloriam desiderabat: ut nimirum paternam omnem plurium deorum deceptionem, ac superstitiosum errorem relinqueret, nostram autem Jesu religionem ineffabili participio magnanimiter apprehenderet, totusque totius præcupide amati, ac Christianorum partium fieret. Ac plane ita evenit, vocante Deo, ac Spiritu omnia illustrante, veritatis ei semitas ad Evangelicam prædicationem complanante. Hinc splendido apostolici cœtus luminari, Paulo, inquam, qui in lege

C pro legis ratione, in gratia autem consentanee enituit gratiæ, adhærens eique implicatus, itineris socius efficitur ac peregrinationum comes: ejusque æmulationem, pari æmulatione imitatus, etiam ipse æmulator ostenditur. Atque a paterna commigrans lege, gentilitiique sensus inani superstitione ablegata, totam prorsus conversationem in cœlum transtulit. Verum haud æquum fuerit, ut quod fere effugerat, prætereatur. Contigit ut pellucida hæc Christi margarita; pretiosus, inquam, lapis, non minus quam lapis ille Zorobabel oculis septem ornatus P, quo et gratiarum perornabat coronam; regionis per id tempus proconsulem cognatione attingeret, haberetque genere propinquos, quibus Mi-

D nos et Rhadamanthus, Jovis filii, proavi exstitissent.

] τῷ κράτει τοῦ συγγενέος ἐπιθαρσήσας, εἴ τι καὶ δέοι παθεῖν δείσας, καλὴν ἑαυτῷ [ριστὸν πίστεως, τὴν ἐν γράμματι νομοθε-βάθραν προὔθηκε. Περιτυχὼν γὰρ τῶν Μω-ιβλίων, καὶ τῆς Ἑβραίων ἁπάσης Γραφῆς, οις ὡς μάλιστα φιλομαθῶς ἐναπασχολήσας, καὶ ὅλος ὅλῳ στοιχειωθεὶς, οὕτως ἐν βρα-

Cognati itaque potestate fisus, nec sane veritus si quid etiam esset perferendum; pulchre sibi ipse legem in littera positam ad Christi fidem gradum substravit. Nactus enim libros Mosis, totamque Hebræorum Scripturam, atque in iis studiose admodum posita opera, totusque mente tota instructus, ita brevi didicit linguam Hebraicam, ut

ιar. ιιι, 9.

COMBEFISII NOTÆ.

(31) *Si qua apud Græcos gloria obtineret.* Ὅση Ἕλληνας ἐκράτει τότε· nempe δόξα a Græcis disciplinis et externa sapientia, qua illi n gloriabantur: quam sapientiæ sæcularis, Christianæ religionis causa, contemptam gloriam, merito deprædicant in Basilio et similibus, qui res eorum celebrant.

omnibus qui prius novissent, non is ipse videretur qui esset nudius tertius, sed ei assimilis alius ex Hebræis probatus Hebræus. Quippe enim acri vir ingenio, externaque abunde scientia eruditus, ac vi sermonis perfecta, etiam venusto eloquio erat, quique promptissime intelligeret. Cum sic ergo, utrinque facto periculo, valde admirationi esset, et apud omnes spectabilis, quid agit, quidve molitur? Adit cognatum, bonisque inflectens verbis suadet ut benigne annuat proficisci Hierosolymam : velut nimirum ad sapientiæ accessionem, quam ab iis qui exponendis Judæorum Scripturis præessent, studiosa disciplina colligeret. Quid vero strenuus hic, ac veræ scientiæ amans? Venit citissime in Judæam, cum fere evangelica prædicatio ortum haberet : seu, ut verum dicam, cum paulo ante divini spiritus gratia linguis igneis adformata, supra Christi discipulos sedisset, qua nimirum, etiam novis linguis gentes alloquebantur, non patriis, ut tota fere civitas stupore repleretur, ex spectaculi novitate, insolentiaque miraculi. Per id sane temporis, ac ipsa velut hora, supervenit magnus ille ac homo Dei, seque collectæ multitudini inserens eis se admiscuit, de quibus liber Actorum : « Erat autem turba hominum simul, fere centum viginti [q]; » et omnes fuerant conversi ad Dominum.

A χεῖ καιροῦ διαστήματι τὴν Ἑβραίων ἠσκήθη φωνὴν, ὡς πάντας εἰκάσαι τοὺς πρὶν εἰδότας αὐτὸν, οὐκ εἶναι τοῦτον ἐκεῖνον τὸν πρὸ τῆς χθὲς, οὗ διὰ πείρας ὄντες ἐτύγχανον, ἄλλον δὲ τούτῳ προσόμοιον ἐξ Ἑβραίων Ἑβραῖον εὐδοκιμήσαντα. Καὶ γὰρ ἦν ἀγχίνους, καὶ μετειληχὼς εἰς δέον παιδείας τῆς ἔξωθεν, καὶ λόγου δύναμιν ἀποτετελεσμένην ἔχων, καὶ φράζειν εἰς κάλλος εἰδὼς, καὶ νοεῖν προχειρότατα. Ὡς δὲ πεῖραν διδοὺς καὶ λαμβάνων, πολὺς ἦν ὁμοῦ θαυμάσιος καὶ παρὰ πᾶσιν ἀπόβλεπτος, τί ποιεῖ, καὶ τί τεχνάζεται; Πρόσεισι τῷ ἑαυτοῦ προσγενεῖ, καὶ χρηστοῖς ἐπικάμψας λόγοις, πείθει τὴν ἐπὶ Ἱεροσόλυμα πρᾴως αὐτῷ ἀνεῖναι πορείαν, πρὸς ἀγερμὸν ὡσανεὶ σοφίας τῆς μείζονος παρὰ τῶν προεχόντων τῆς Ἰουδαίων Γραφῆς, συλλεγομένης αὐτῷ ἐκ φιλοπόνου μαθήσεως. B Τί οὖν ὁ γεννάδας οὗτος, καὶ τῆς ἀληθοῦς γνώσεως ἐραστής; Τάχιστα τὴν Ἰουδαίαν κατειληφὼς, ὅτε σχεδὸν ἀρχὴν εἶχε τοῦ Εὐαγγελίου τὸ κήρυγμα· τἀληθὲς δὲ εἰπεῖν, ὅτε μικρῷ πρόσθεν ἡ τοῦ θείου Πνεύματος χάρις γλώσσαις πυρὸς ἐπιμορφωθεῖσα, τοῖς Χριστοῦ μαθηταῖς ἐπεκάθισε, καθ' ἣν καὶ γλώσσαις ἐλάλουν ξέναις, ἀλλ' οὐ πατρίοις τοῖς ἔθνεσιν, ὡς πᾶσαν ὁμοῦ συγχυθεῖσαν τὴν πόλιν πλησθῆναι θάμβους τῷ καινῷ τοῦ θεάματος, καὶ τῷ ξένῳ τοῦ θαύματος. Τηνικαῦτα δὴ, καὶ κατ' αὐτὴν, ὡς εἰπεῖν, τὴν ὥραν, ἐπιστὰς τῷ πλήθει τῶν συνειλεγμένων ἑαυτὸν ἐνείρας ὁ μέγας οὗτος καὶ τοῦ Θεοῦ ἄνθρωπος ἐγκατέμιξε, περὶ ὧν φησιν ἡ βίβλος τῶν Πράξεων· « Ἦν τε ἐπὶ τὸ αὐτὸ ὄχλος ὀνομάτων ὡσεὶ ἑκατὸν εἴκοσι· » καὶ πάντες ἐπέστρεψαν ἐπὶ τὸν Κύριον.

Unus itaque ac primus eorum efficitur, qui id temporis, magistro Spiritu sancto, crediderunt : evangelicæque prædicationis primitias, ipse se eorum primitias fecit, qui Christi baptismate conciliati fuerunt. Ac vero consuetudine cum Christi discipulis inita, opportunaque sacramenti prædicatione formatus, evadit et ipse discipulus, non minus dignitatis prærogativa, quam zelo honore æqualis. Haud diu post etiam Paulus magnus Ecclesiæ accessit doctor. Ille inquam Paulus, qui orbem totum ab Judæa per circuitum, ad usque Illyricum prædicatione percurrit. Is cum necdum lumini appropinquasset, Damascum proficiscens, ipso meridie cœlesti lumine velut obruitur, auditque vocem de cœlo ejus insonantem auribus, ac divina Jesu apparitione dignus efficitur : necdumque baptizatus, baptismi docetur sacramenta, ac ante adoptionem et manuum impositionem (32), apostolicæ dignitatis gratiam recipit, vasque electionis designatur [r], ac fore ut portet nomen Do-

C Τούτων εἷς καὶ πρῶτος τῶν τότε πεπιστευκότων γίνεται, τῷ ἁγίῳ μαθητευθεὶς Πνεύματι, καὶ τὴν ἀπαρχὴν τοῦ θείου κηρύγματος, ἀπαρχὴν ἑαυτὸν ποιησάμενος τῶν οἰκειωθέντων Χριστοῦ τῷ βαπτίσματι. Καὶ δὴ μὲν αὐτίκα τοῖς Χριστοῦ συγγινόμενος, καὶ τῷ καιρίῳ τοῦ μυστηρίου λόγῳ τυπούμενος, μαθητὴς γίνεται καὶ αὐτὸς, οὐχ ἧττον τὴν ἀξίαν, ἢ τὸν ζῆλον ὁμότιμος. Οὐ πολὺ τὸ ἐν μέσῳ, καὶ ὁ Παῦλος τῆς Ἐκκλησίας ὁ μέγας ἐπέστη διδάσκαλος, Παῦλος ἐκεῖνος, ὁ κύκλῳ πᾶσαν ἀπὸ Ἱερουσαλὴμ καὶ μέχρι τοῦ Ἰλλυρικοῦ τὴν οἰκουμένην ὅλην διαδραμὼν τῷ κηρύγματι. Ὃς τότε μή πω τῷ φωτὶ πλησιάσας, τὴν ἐπὶ Δαμασκὸν πορείαν ποιούμενος, ἐν μεσημβρίᾳ μέσῃ τῷ οὐρανίῳ φωτὶ καταστράπτεται, καὶ φωνῆς ἄνωθεν ἀκούει περιηχούσης αὐτοῦ τὰ D ὦτα, καὶ τῆς Ἰησοῦ θεοφανείας ἄξιος γίνεται, καὶ πρὸ τοῦ βαπτίσματος, τὰ τοῦ βαπτίσματος μυεῖται μυστήρια, καὶ τῆς ἀποστολικῆς ἀξίας πρὸ τῆς υἱοθεσίας τὴν χάριν καὶ τῆς χειροθεσίας ὀφίσταται, καὶ σκεῦος ἐκλογῆς ἀναδείκνυται, καὶ βαστάζειν τὸ

[q] Act. I, 15. [r] Act. IX, 15.

COMBEFISII NOTÆ.

(32) *Et manuum impositionem*. Καὶ τῆς χειροθεσίας. In sacramento confirmationis adolescit Christianus, et adoptionem perfectam accipit; eoque fuerit incongruum, ut quis ante illam apostolus fiat, aut gradu sublimiori in Ecclesia evehatur, nisi Deo cui est liberum dispensante, ac præter legem agente, quam ipse statuit; ac sine sacramentis efficiente, quod sacramentis addictum voluit. Vel etiam ac melius, manuum illa impositio intelligatur, in sacramento ordinis, quod de lege solis clericis, graduque in clero auctioribus, et sacra ordinatione in plebium velut Patres provectis, nimirum presbyteris horumque majoribus, vixque nisi οἰκονομίᾳ, etiam diaconibus congruat apostolicum prædicationis munus.

Κυρίου ἐνώπιον ἐθνῶν καὶ βασιλέων, δι' Ἀνα- A ιῦ πάνυ χρησμῳδοῦται παρὰ τοῦ πνεύματος, ης ἀντὶ διώκτου, καὶ κῆρυξ ἀντὶ βλασφήμου νος. Ὃν τότε τῇ ὀξυωπίᾳ τοῦ πνεύματος ἐν- θεσπέσιος Τίτος, καὶ τὴν περιχυθεῖσαν αὐτῷ ίας χάριτος θεολαμπίαν κατανοήσας, ὅλος ι τοῦ καλέσαντος, καὶ ὡς ἄν περ δι' αὐτὸν ντι [83] τῷ κήρυκι. Αὐτίκα μάλιστα τῶν ἐν ἁπάντων ἀφέμενος, καὶ πᾶσι χαίρειν εἰπὼν ια κλέπτει τὴν αἴσθησιν, πρόσεισιν αὐτῷ μετὰ τοῦ συστήματος.

γίνεται μὲν τὰ πρῶτα τῶν συνήθων καὶ γνω- ιῖς, μετ' οὐ πολὺ δὲ σύσσιτος καὶ ὁμόσκηνος. τοῖς πρόσω χωρῶν ὁ θαυμάσιος ἐπεγνώσθη τῷ ισθέντι Θεῷ, καὶ τοῖς ὑπὲρ λίαν ἀποστόλοις B ιθέντι, τῷ ἀκραιφνεῖ τῆς θείας ἐλλάμψεως, τί .; συνόμιλος αὐτῷ λοιπὸν καὶ συνέκδημος ἐν Εὐαγγελίου κηρύγματι. Τὰ δὲ ἑξῆς ὀκνεῖ μὲν ὁ λόγος, ἅτε τὴν ἡμετέραν διαφεύγοντα γνῶ- αὶ κρείττονα τάχα τῆς πολλῶν ὑπολήψεως Ἐφ' ἃ δὲ δεῖ τὸν λόγον μετοχετεῦσαι, ἐπ' αὐτὰ τρέψομαι. Εἶχε μὲν οὖν αὐτὸν οὕτως ἡ τοῦ ι φροντὶς, πανταχόσε συμπεριαγόμενον καὶ νον, καὶ [83*] τὸ θήραμα ὡς λίαν ἐπίχαρι καὶ υ μεστόν. Ὁ δὲ ἦν εὐθὺς ἐκ πρώτης αὐτῷ ς, πάνθ' ὅσα κατακοσμεῖν οἶδε τὸν ἀρετῇ ι καὶ κατὰ Θεὸν ἀναγόμενον· ἐπιεικὴς, εὐ- , εὐπρόσιτος, ὑπήκοος, πρὸς ἀποστολὴν εὔ- , πρὸς διακονίαν εὔχρηστος, πρὸς καταλλαγὰς ον, ἀλείπτης τῶν κοπιώντων, τῶν ὑπὲρ C ῦ πονούντων ὑπερασπιστὴς, καὶ πρὸς ἁπάν- λῶν ὀξύῤῥοπον τὴν μετάκλησιν ἔχων. Τί μοι ρω λέγειν, παρὸν τὰς Παύλου φωνὰς εἰς ἀγαγόντα, ἐν αὐταῖς τοῦτον ὑμῖν ἐκτυπώτερον ιι νῦν, ὡς ἐν πίνακι τῷ γράμματι στηλογρα- ον; Ὃς Κορινθίοις ἐπιστέλλων ποτὲ, καὶ τὴν ήρυγμα δεδομένην αὐτῷ χάριν ἐκδιηγούμε- τοῦ που τοῦ λόγου γενόμενος, τὸν ἱερὸν δὴ ὑποσεμνύνει Τίτον ἐν τούτοις δήπου τοῖς · « Θύρας μοι, φησὶν, ἀνεῳγμένης ἐν Κυρίῳ Εὐαγγέλιον τοῦ Χριστοῦ οὐκ ἔσχηκα ἄνεσιν ύματί μου, τοῦ μὴ εὑρεῖν με Τίτον τὸν ἀδελ-). »

; ὅση καὶ τίς ὑπῆρχεν ἡ ἐκ βάθρων αὐτῷ τῆς D ; περιχυθεῖσα χάρις τοῦ Πνεύματος, ὡς καὶ ' ἐπικληθῆναι Παύλου, καὶ ψυχαγωγὸν καὶ

mini coram gentibus et regibus, ceu divino Spiritus oraculo, per magnum illum Ananiam pronuntiatur: aliptes factus ex persecutore, et ex blasphemo prædicator. Eum tunc perspicaci spiritus oculo intuitus admirabilis Titus, affusamque ipsi divini splendoris gratiam diligentius attendens, totus fit illius qui vocasset, quique velut ipsius causa astitisset prædicatori (33). Ex templo maxime omnibus a se procul dimissis, atque iis penitus valere jussis quæ lenocinio furantur sensum, multo comitatu ipsum adit.

Ac primum quidem unus eorum qui familiares et noti essent, postmodum vero etiam commensalis et contubernalis efficitur. Ubi autem vir mirabilis ad ulteriora procedens, agnitus ei fuit, qui fuisset præagnitus Deo, et iis qui supra modum apostoli erant exæquatus, sincera utique divini luminis illustratione, quid accidit? Fit tandem illi socius, ac peregrinationum comes in prædicatione Evangelii. Renuit autem eloqui oratio quæ deinceps sequuntur, ut quæ effugiant nostram cognitionem, ac forsan majora sint quam plures existimaverint. Ad ea vero convertam sermonem, ad quæ is detorquendus sit. Sic itaque eum Paulus curæ habebat, ut omni loco una circumduceret, ac velut gratissimam plenamque divitiis prædam ferret. Ipse autem a primo statim germine, omnia ei erat quæ solent esse ornamento viventi ex ratione virtutis, vitaque divine sublimi et Deo subvehente elata: modestus, suasibilis, accessu facilis, obediens, ad apostolatum expeditus, ad ministerium utilis, ad conciliationes felix, fatiscentium aliptes, defensor pro Christo laborantium, quem denique boni omnes propensius accirent. Enimvero quid remotiora dico, cum præsto sit ut in medium adductis Pauli vocibus, eum vobis impræsentiarum, velut in tabella, ac ceu in columna insculptum expressius ex Scriptura exhibeam? Is aliquando Corinthiis scribens, datamque ei ad prædicationem gratiam disserens, ubi ad certum quemdam locum devenit, verbis ejuscemodi honestat sacrum hunc Titum: « Cum, inquit, ostium mihi ad Evangelium Christi apertum esset, non habui requiem spiritui meo, eo quod non invenerim Titum fratrem meum *. »

Vides quanta ei affusa esset gratia Spiritus, ab ipsis fidei fundamentis, ut et Pauli frater et solatium et refrigerium vocaretur? « Non habui enim

* Cor. II, 12.

VARIÆ LECTIONES.

[83] ge ἐπιστάντος. [83*] Leg. ὡς.

COMBEFISII NOTÆ.

(33) *Quique velut ipsius causa astitisset prædicatori.* Nempe, Paulo. Indicat Pauli conversionem fuisse Tito occasionem perfectæ conversionis, et arripiendi status sublimioris, quo ior fieret sacro illi ministerio, ad quod peculiarissime vocatus esset, tandemque socium promoveret. Accepit velut sibi catum, ac ducem præfectum, sub quo, et quo socio, prædicationi instaret. Non ita abest, quod de B. Reginaldo habetur apud Theodor. et alios, meditante statum apostolicum et prædicatorum, cui Deus, vix non alterum Paulum, ac Pauli spiritu plenum, Dominicum quo præside et Patre socioque id muneris strenue obiret, suscitavit; etiam miraculose sanans ejus precibus, ut ne tantus deesset novæ militiæ dux.

:κτεβάρησα ὑμᾶς· ἀλλ' ὑπάρχων πανοῦργος, A
ἂς ἔλαβον. » Τί λέγεις; Δόλῳ πανοῦργος ὑπ-
[λες, οὓς διὰ Χριστὸν ἐσαγήνευσας; Ναὶ,
ἣν καλὴν ἀπάτην ἠπάτησα, μιμήσει Χριστοῦ
ἐχθρὸν φεναχίσαντος. Καὶ γὰρ ἐκεῖνον δελεά-
τῆς σαρκὸς προκαλύμματι, θεότητος ἀγκί-
καὶ [86] προβλήματι. Τὸ δὲ *πανοῦργος*, ἀντὶ
:ὸς, ἐκλαμβάνομεν. « Ἔστω οὖν, φησὶ, ἐγὼ
:βάρησα ὑμᾶς· ἀλλ' ὑπάρχων πανοῦργος,
ἂς ἔλαβον. Μή τινα ὃν ἀπέστειλα πρὸς ὑμᾶς
ἔτησεν ὑμᾶς; Παρεκάλεσα Τίτον, καὶ συναπ-
τὸν ἀδελφόν. Μή τι ἐπλεονέκτησεν ὑμᾶς Τίτος;
ὐτῷ πνεύματι περιεπατήσαμεν; Οὐ τοῖς αὐ-
ίσιν; » Εὖγε τῆς ἀληθείας! Ὑπέρευγε τοῦ
:ος, οὕτω συναρμόσαντος ἄμφω τοὺς Χριστο-
; ! Ἤδη μὲν οὖν εὖ μάλα αὐτὸς ἡ δόξα Τίτου B
τὸν ἔπαινον προλαβὼν ἀπηκρίβωσε, τοῖς
:ὰ ἐκείνου συγκρίνας, ἄριστά τε τοῦτον ἐξει-
εὐχρωματίστως διεζωγράφησεν.

, ὦ μακάριε Πάτερ, τὸ μέγα Κρήτης καύ-
ὰ καλλώπισμα, καὶ τῆς σκηνῆς τῆς ἀληθι-
, τῆς ἄνω μυστολατρείας, καὶ τῶν θείων
ἰ, δέχου πρὸς ἡμῶν οἷόν τι Σειρήνειον μέλος
:νιον λόγον, καὶ τραυλίζειν ἐθέλοντι, φιλό-
ὢν, ἥδιστα παράβαλε σὸν οὖς ἐμοῖς λόγοις.
:ρ πατράσι τὰ τῶν τέκνων ψελλίσματα, ὅταν
ίου γνώμης ἄπλαστον λόγον προΐενται. Λόγος
ἂν καὶ δοθείη τῷ μηδὲν εὔχρηστον ἔχοντι
οδοχὴν τοῦ συντετμημένου καὶ συνεκτικωτά-
ου, πλὴν τοῦ εἰς δύναμιν ἥκοντος τῆς ἐν ἡμῖν C
ις; Σὲ δὲ τίς ἂν καὶ κατ' ἀξίαν ἐπαινέσειε
ἄνωθεν παρὰ Κυρίου λαβόντα τὸν ἔπαινον;
ὑποφωνοῦντος αὐτοῦ διαπρυσίως ἀκούωμεν,
· « Ὑμεῖς ἐστε τὸ ἅλς τῆς γῆς. » — « Ὑμεῖς
φῶς τοῦ κόσμου. » — « Ὑμῖν δέδοται γνῶ-
μυστήρια τῆς βασιλείας τοῦ Θεοῦ· » πῆ δέ·
ν δὲ μακάριοι οἱ ὀφθαλμοὶ ὅτι βλέπουσι, καὶ
ὑμῶν ὅτι ἀκούουσι. Λέγω γὰρ ὑμῖν, ὅτι πολ-
ρῆται καὶ βασιλεῖς ἐπεθύμησαν ἰδεῖν ἃ βλέ-
ὶ οὐκ εἶδον, καὶ ἀκοῦσαι ἃ ἀκούετε, καὶ οὐκ
. » Τίνα οὖν ἡμεῖς σοι τὸν στέφανον πλέξο-
νων δὲ λόγων τὰ ἄνθη συλλέξαντες, τῇ πανιέ-
κορυφῇ περιθήσομεν; Τίς οὕτως ἠλίθιος, ὡς
τοῦ τῶν δεσποτικῶν ἀντεπεξάγειν πειρᾶσθαι D
ὧν καὶ μία μόνον ἀρκέσει φωνὴ, συμπλη-
ου κατ' ἀξίαν τὸν ἔπαινον. Τίς αὕτη καὶ ποία;
πρόσθεν ὑμᾶς φῶς τοῦ κόσμου καλέσασά,
ρώτῳ μαθητευθέντας φωτί. Οὕτω γὰρ ὑπο-
τοὺς τῷ Εὐαγγελίῳ, δίκην ἡλιακοῦ ἅρματος,
κτίσιν περινοστήσαντας. Ὑμεῖς ἐστε τὸ ἅλς
κλησίας, δι' οὗ τὰ πικρὰ καὶ ἁλμυρὰ τῆς
ς κατεγλυκάνθησαν ὕδατα· τῷ γονίμῳ τὴν
ν, καὶ τῷ ποτίμῳ τὸ ἀπότιμον διακρούσαντες.
:στε ἡ ἐπ' ὄρους κειμένη τῶν ἐκκλησιαστικῶν

« Sed esto, inquit, ego vos non gravavi, sed cum essem astutus dolo vos cepi [z]. » Quid ais? Cum esses astutus, eos dolo cepisti, quos propter Christum piscatus es? Ita, inquit: Bono vos errore decepi, Christi exemplo qui hosti illusit. Nam et illum carnis involucro ceu esca fallens, divinitatis hamo sive etiam præsidio cepit. Illud autem, *astutus*, pro eo exponimus, quod est, *sapiens*. « Sed esto, inquit, ego vos non gravavi, sed cum essem astutus, dolo vos cepi. Nunquid aliquis eorum quos misi ad vos, expilavit vos? Rogavi Titum, et misi cum illo fratrem. Nunquid Titus vos expilavit? Nonne eodem spiritu ambulavimus? Nonne iisdem vestigiis [a]? » Euge veritatem! Euge magis Spiritum, qui ita ambos Christi præcones coaptavit! Jam sane maxime ipse Titi gloria Paulus, ejus accurate laudationem occupans exsecutus est; suis ipsius res illius comparans, ac ceu in imagine optime repræsentans, egregio colorum flore depinxit.

Sed, o beate Pater! magna Cretæ gloriatio ac ornamentum, verique tabernaculi ac superni cultus, divinorumque interpres, suscipe a nobis ceu Sirenarum melos, laudationis sermonem: quique sis filiorum amans, volenti balbutire, aurem tuam meis libens sermonibus adhibe. Solent enim Patres grata habere filiorum balbutimenta, cum ii e simplici mente sincerum sermonem depromunt. Quem enimvero, excepto si quis meæ imbecillitati congruat, sermonem dederim, cui nihil ad compendiosi sensorumque complexione confertissimi sermonis susceptionem, comparatum suppetat! Te vero quisnam etiam sermo pro meritis laudaverit, qui olim a Domino laudem acceperis? Ut cum clare clamantem audimus, alio quidem loco: « Vos estis sal terræ [b]. — Vos estis lumen mundi [c]. — Vobis datum est nosse mysteria regni Dei [d]. » Alio autem: « Vestri autem beati oculi quia vident, et aures vestræ quia audiunt. Dico enim vobis, quia multi prophetæ et reges voluerunt videre quæ vos videtis, et non viderunt; et audire quæ auditis, et non audierunt [e]. » Quam tibi ergo sumus plexuri coronam? Quorumnam sermonum collectos flores tuo vertici imponemus? Quis ita stultus, ut suos sermones velut ex adverso Dominicis tentet ingerere, quorum vel una vox abunde fuerit, laudationi pro meritis complendæ? Quænam illa vox et quanta? non ita pridem, lumen mundi appellans. Ut nimirum discipulos primi illius luminis. Sic enim ii existimandi sunt, qui Evangelio, velut solari curru, circumquaque mundum lustrarunt. Vos estis Ecclesiæ sal, quo amaræ salsæque infidelitatis aquæ dulcorantur: sterilitatem depellentes concessa fecunditate, ineptamque ad potum qualitatem suavi ad potum gratia. Vos

ὸr. xii, 16. [a] ibid. 16-18. [b] Matth. v, 13. [c] ibid. 14. [d] Marc. iv, 11. [e] Luc. x, 23.

VARIÆ LECTIONES.

le εἶλε, vel quid simile.

ιι καὶ ὑμᾶς καὶ συνευφρανθήσεσθαι· « Ἐγ-
ένου γὰρ δικαίου, εὐφρανθήσονται λαοὶ, »
σοφώτατος Σαλομών. Δίκαιον οὖν ἡγοῦμαι
ν φωνὴν οἰκειώσασθαι, καὶ ὡς εἷς ἐκ πάν-
τάντων τοῦτον ὑμῖν ἀναστηλῶσαι τῷ λόγῳ,
ν ἀνδριάντα τῶν λόγων, καὶ τῆς ἁπαντα-
ῶν Ἐκκλησιῶν πεφηνότα διδάσκαλον.

A ritis ut et iterum orationem in eum convertam : ac plane persuasum habeo fore, ut et vos consectemini ac collætemini : « Laudibus siquidem celebrato justo, lætabuntur populi[1] (37), » inquit sapientissimus Salomon. Justum itaque arbitror, ut omnium mihi asciverim vocem, ac velut unus et toto cœtu, viceque universorum, hunc vobis instar cippi, coram statuam et erigam : qui nimirum, ceu rationalis sermonum statua, positarum Ecclesiarum doctor claruerit.

ἀρ, οὗτός ἐστιν ὁ μέγας Τίτος, τοῦ σκεύους
ς ὁ συνέκδημος, ὁ θερμὸς ἐκείνου κοινωνὸς
Εὐαγγελίου κηρύγματι. Τίτος ὁ πρῶτος
μανίας ἀντίπαλος, καὶ τῆς Χριστοῦ θεο-
έρμαχος· ὁ κατὰ τῶν προσκυνούντων τοὺς
θος προσκόμματος κείμενος, καὶ τὸν εἰς
ωνίας τῆς Ἐκκλησίας λίθον Χριστὸν αὐτοῖς
ς. Τίτος, ἡ ἀκρότομος ἕδρα καὶ πέτρα τῆς
ἡ ἀποπετρωθέντας τὸν νοῦν Χριστῷ τῇ
ρεμνίως ἑδράζουσα. Τίτος, τὸ θεόκτιστον
ν Ἐκκλησίας προπύργιον, ἡ ἀψευδὴς τῶν
ς αὐτῷ προσιόντων ἀντίληψις, τὸ εὐπρε-
ερὶ ἡμᾶς θείας κηδεμονίας προαύλιον, δι'
θειαν ἔγνωμεν, τὴν ζωὴν ἐσχήκαμεν, τὴν
ἴδομεν, τὸ φῶς ἐνελάμφθημεν. Τίτος, ὁ
δεκάδος τῶν τῇδε καθέδρας ἀρχίθρονος, ὁ
οὐρανὸς τῆς ἡμῶν ἀβλεψίας, ὁ φαιδρὸς
ιαστικοῦ στερεώματος ἥλιος, ὁ λαμπαδοῦ-
ψύχων λαμπτήρων ἀστὴρ, ὁ τοὺς πλανή-
λάνης πρὸς ἀπλανεῖς ἐφόδους ἀπλανῶς
ας τῆς πίστεως, καὶ στηριγμοῖς ἀληθείας
ύων τὴν σύμπασαν. Τίτος, τῶν Χερουβὶμ
ῶν Σεραφὶμ τὸ στόμα, ὁ γρήγορος ὀφθαλ-
ίμητον τῆς μυστικῆς ἀγραυλίας βλέφαρον,
ἀπροσμάχητον ὅπλον, ἡ κατ' ἐχθρῶν ἐστιλ-
μφαία, τῶν οἰκείων τέκνων ὁ πρόμαχος,
ν ὁ πόρος, τῶν πεινώντων ἡ τροφὴ, τῶν
στέγη, ἡ τοὺς γυμνήτας περιστέλλουσα
τοὺς ἐν ζάλῃ κυμάτων διασώζων λιμὴν, ὁ
ς εὐσεβείας, ὁ διαφανὴς τῶν θείων δογμά-
ἡρ, ἡ ἔμψυχος τῆς Ἐκκλησίας λαμπὰς, ἡ
ν ἀρετῶν, ἡ ἔμπνους τῶν κατορθωμάτων
ὑλαλος τῶν δογμάτων λύρα, ὁ λιγυρὸς τῶν
άτων ᾠδὸς, ἡ ἀσίγητος φόρμιγξ, ἡ τῷ πλή-

Hic enim plane, hic est magnus ille Titus, peregrinationum comes vasis illius electionis, fervens ejus in prædicatione Evangelii socius. Titus, primus insani idolorum cultus hostis, Christique divinæ religionis vindex : iis qui lapides adorarent B offensionis positus lapis, quique positum in caput anguli Ecclesiæ lapidem Christum eis substraverit. Titus, durissima basis petraque fidei, mentem in petram duratos, in Christo petra firmans ac stabiliens. Titus, Cretensium Ecclesiæ a Deo conditum ceu turris propugnaculum ; vera sine dubitatione ad eum accedentium defensio, decorum divinæ in nos curæ præludium, quo cognovimus veritatem, obtinuimus vitam, scientiam accepimus, cœlesti lumine perfusi sumus. Titus, duodenarum nostræ insulæ sedium sedem principem tenens, a Deo fulgens nostræ cæcitatis cœlum, lætus Ecclesiastici firmamenti sol, animatis luminaribus prælucens astrum, erratica erroris sidera, ad indeclinabilem fidei tramitem inerranter ducens, ac ceu C sublatis ignibus universam terram veritatis fulcimentis collustrans. Titus ille, Cherubicus oculus : os Seraphicum, vigil obtutus, insoporabilis mysticæ pernoctationis pro pastoris munere palpebra. Titus, inexpugnabilis protectio, gladius in hostes districtus, filiorum propugnator, inopum quæstus, cibus esurientium, vagorum et sine tecto tectum, nudorum operimentum, portus salutis marinis fluctibus jactatorum, religionis facula, emicans divinorum dogmatum scintilla, animata Ecclesiæ lampas, columna virtutum, spirans præclare gestorum imago, canora dogmatum lyra, vocalis divinorum carminum cantor, cithara silere nesciens, quæ animi affectiones compona',

xι, 10.

COMBEFISII NOTÆ.

m, quem statim dicit τῆς ἱερᾶς Τίτου
σφράγιστον σύστημα, velut cœtum quem
i manus divino charactere consignasset :
immediate, sed in episcopis et sacerdo-
s Cretæ successores reliquisset. Nihil
at, ut ne dicat solos proprie sacerdotes,
ue episcopos ; in quorum corona videtur
copus orasse, ac celebrandum assum-
imum suæ sedis archiepiscopum : quorum
im laudare pro concione viros justos, et
recreare populos ; quas sibi ille partes,
ium vindicat, ut loquatur velut omnium
r ipse prælatus. Quid si pro ἱερὸν, ir-
ίων ?
udibus celebrato justo, lætabuntur populi.
ter habent Vulg. et LXX. Theodor. habet

D secundum illud, εὐφρανθήσονται, ἀγαλλιάσονται, quod parum abest, ut et illud Vulg. *Exsultabit civitas ;* Tigur et Sant. *Exaltabitur :* quo forte modo etiam illa habuerunt, habentque Hebraica : תרום ; cui affine illud LXX : *Bene gessit civitas*, ut genuinus sensus sit : *In bonis justorum*, quod et Vulg. et LXX habent. Hoc est, præmio affectis pro ratione justitiæ et rectitudinis, quæ est ipsa benedictio quam Hebræa, Sant. et Tigur. habent, fore exaltandam civitatem, eique cessura omnia prospere. Felix certe civitas, in qua ea lex sanctaque distributio inviolata obtineret. Fuit sancto Hugoni multa hac in re, et iniqua, etiam in Dei ecclesia, distributione, in Dei providentiam, quanquam ad agonem tantum et potiora in cœlis præmia, tentatio, ut habent ejus acta.

sacrorum pulsuum plectro; mystica fidei dioptra, repercussis radiorum fulgoribus adversariorum pupillas verberans. Titus, piorum phalangis perquam strenuissimus miles, fidelium armatura, hostium pernicies, minus recte sapientium emendatio, firma eorum qui convertuntur palinodia, ægrotantium medicus, fessorum requies, vinctorum absolutio; in necessitatibus positorum recreatio, in calamitatibus agentium refrigerium, pater orphanorum, defensor viduarum, captivorum liberatio, hospes peregrinorum, detentorum in carcere visitatio, eorum qui tentantur defensio. Titus ille, omnia factus omnibus; qui se facilem adeuntibus præbeat, precantibus non difficilis aures accommodet, sit omnibus supplex, amicabilis, urbanus, venerabilis, socialis, blandus, lenis, animarum amans, suavis, modestus, doctor, placidus, castus, verus. Merito Paulus verum Christi exornans sacerdotem, congrue honestat appellans sanctum, innocentem, et amplectentem omnem veritatem.

Talem se nobis exhibuit venerabilis Titus. Totius enim divinæ virtutis in se collectis symbolis, se totum omnino spiritui addixit spreto corpore, eoque salubris ei defluit sermo, arenaque copiosior inundat sapientia; unde modo, collectis ceu quibusdam pulcherrimis flosculis, iis sermonem coronatum absolvam. Jam enim deinceps operæ pretium est, ut impleam promissionem, eique sermonis perorationem componam. Mutuam ergo ei trado vocem; vicissimque sermonem mutuum accipio; ac modicus ego, rei majoris commutator factus, ejus vobis spiritaliter sermonem oppignero: haud sane curiosa versutaque loquacitate, sed vera sola ac nihil ficta doctrina, sicque statim et ex tempore altam eam distinguere vocem incipiam.

Nam utitur hodie voce mea, ac nostris vos alloquitur modis: « Filioli, inquiens, quos iterum parturio, donec formetur in vobis Christus [j], » morum scilicet perfectione. Nolite effici pueri sensibus, sed malitia parvuli estote [k]. Ne qua radix malitiæ impediat sursum germinans [l], ac rectum sensum obscurans. Ne quis in vestris cordibus enascatur peccati surculus. Ne quis in vobis amaritudinis botrus nigrescat, ex quo furor draconum aspidumve, ceu vinum diffluat. Ne quis spreverit Dominica Christi mandata; neve instar aspidis obturaverit aures, ut ne audiat incantantis vocem. Ne quis malitiam et vitium eligat, cui liberum sit ut eligat virtutem, cœlestemque vitæ rationem in terra instituat; neve incorruptæ immortalique vitæ, exitiosam sensibus humilium ac terræ defixorum abundantiam, misera commutatione præoptet. « Filii, novissima hora est [m]: » sunt ergo paranda ad exitum ac sepulturam opportuna. Nobis ipsi augeamus funeris curam.

κτρῳ τῶν ἱερῶν κρουσμάτων τὰ τῶν ψυχῶν κατασκευάζουσα πάθη, ἡ μυστικὴ διόπτρα τῆς πίστεως ταῖς ἀντιπόμποις τῶν ἀκτίνων μαρμαρυγαῖς τῶν ἀντιπάλων τὰς κόρας ἀποῤῥαπίζουσα. Τίτος, ὁ μέγας ἀριστεὺς τῶν εὐσεβούντων, ἡ τῶν πιστῶν πανπευχία, τῶν ἐχθρῶν ἡ πανωλεθρία, τῶν οὐκ ὀρθὰ φρονούντων διόρθωσις, τῶν ἐπιστρεφόντων σταθηρὰ παλινῳδία, τῶν νοσούντων ἰατρὸς, τῶν καμνόντων ἀνάπαυσις, τῶν δεσμωτῶν ἄνεσις, τῶν ἐν ἀνάγκαις ἀνάκλησις, τῶν ἐν συμφοραῖς ἀνάψυξις, τῶν ὀρφανῶν ὁ πατὴρ, τῶν χηρῶν ὁ προστάτης, τῶν αἰχμαλώτων ὁ ῥύστης, ὁ ξεναγὸς τῶν ἐπὶ ξένης, τῶν ἐν φυλακαῖς ἡ ἐπίσκεψις, τῶν ἐν πειρασμοῖς ἡ ἀντίληψις. Τίτος, ὁ πᾶσι πάντα γινόμενος, τοῖς προσιοῦσιν εὐπρόσιτος, τοῖς εὐχομένοις εὐεπήκοος, τοῖς πᾶσιν ἱκέσιος, φίλιος, κόσμιος, αἰδέσιμος, ζύγιος, προσηνὴς, πρᾷος, φιλόψυχος, μειλίχιος, ἐπιεικὴς, διδακτικὸς, ἤπιος, σώφρων, ἀληθής. Δικαίως ὁ Παῦλος τὸν ἀληθῆ τοῦ Χριστοῦ κατακοσμῶν ἱερέα, πρεπόντως ἀποσεμνύνει, ὅσιον ἀποκαλῶν, ἄκακον, καὶ πάσης ἀρετῆς ἀντεχόμενον.

Τοιοῦτός τις ἡμῖν ὁ σεπτὸς ἀναδείκνυται Τίτος. Ὅλον γὰρ ἐν ἑαυτῷ συλλαβὼν τῶν θείων κατορθωμάτων τὸν ἔρανον, ὅλος δι' ὅλου τοῦ πνεύματος γέγονεν, ἀλογήσας τοῦ σώματος. Ὅθεν αὐτῷ καὶ λόγος πηγάζει σωτήριος, καὶ χύσις πλημμυρεῖ σοφίας, ψάμμου δαψιλεστέρα. Παρ' ὧν ἀρτίως ἐγὼ τὰ κάλλιστα συλλεξάμενος, καθάπερ ἄνθη τινὰ, στεφανώσω τὸν λόγον. Καιρὸς γὰρ ἤδη πληρῶσαι λοιπὸν τὴν ὑπόσχεσιν, καὶ συναρμόσαι ταύτῃ τὸν τῶν λόγων ἐπίλογον. Δανείζω τοίνυν αὐτῷ τὴν φωνὴν, καὶ τὸν λόγον κιχρῶ· καὶ γίνομαι διαλλακτὴς μικρὸς μείζονος πράγματος, πνευματικῶς ὁμηρεύων τὸν ἐκείνου λόγον ὑμῖν· οὐ μὲν οὖν περιέργῳ τινὶ καὶ κεκομψευμένῃ στωμυλίᾳ, ἀληθεῖ δὲ μόνῃ καὶ ἀνεπιπλάστῳ διδασκαλίᾳ· ἣν ἐπὶ καιροῦ διᾶραι εἰς ὕψος τὴν φωνὴν ἀνακρούσομαι.

Γλώσσῃ γὰρ χρῆται σήμερον τῇ ἐμῇ, καὶ φθόγγῳ τῷ ἡμετέρῳ προσφθέγγεται· « Τεκνία, λέγων, οὓς πάλιν ὠδίνω, μέχρι οὗ μορφωθῇ Χριστὸς ἐν ὑμῖν, » διὰ τῆς πρακτικῆς τελειότητος. « Μὴ παιδία γίνεσθε ταῖς φρεσὶν, ἀλλὰ τῇ κακίᾳ νηπιάζετε. Μή τις ὑμῶν ἐνοχλείτω ῥίζα κακίας ἄνω φύουσα, » καὶ τὸν ὀρθὸν σκοτίζουσα νοῦν. Μή τις ἁμαρτίας ἐκφύῃ βλαστὸς ἐν ταῖς καρδίαις ὑμῶν. Μή τις περκάσῃ βότρυς πικρίας ὑμῖν, ἐξ οὗ δρακόντων θυμὸς [καὶ θυμὸς] ἀσπίδων οἰνίζεται. Μή τις τῶν Χριστοῦ καταφρονείτω δεσποτικῶν ἐντολῶν, μηδὲ τὴν ἀκοὴν ἀσπίδος δίκην μυέτω, τοῦ μὴ ἀκοῦσαι φωνῆς ἐπᾴδοντος. Μή τις ἐνὸν τὴν ἀρετὴν ἑλέσθαι, καὶ πολιτείαν τὴν ἐν οὐρανοῖς ἐπὶ γῆς μετιέναι, τὴν κακίαν αἱροῖτο, μηδὲ τῆς φθοροποιοῦ τῶν χαμαιζήλων ῥᾳστώνης, τὸν ἐπίκηρον τῆς ἀκηράτου ζωῆς ἀθλίως βίον προκρίνοιτο. « Παιδία, ἐσχάτη ὥρα ἐστίν· » ἑτοιμαστέον οὖν ἡμῖν τὰ πρὸς ἔξοδον, καὶ τὰ πρὸς ταφὴν ἐπιτήδεια. Αὐξήσωμεν ἡμεῖς αὐτοῖς τὴν ἐπιτύμβιον μέριμναν. Μηδεὶς οὕτω χαῦνος ἔστω καὶ ταῖς ἡδοναῖς

[j] Galat. IV, 19. [k] I Cor. XIV, 20. [l] Hebr. XII, 15. [m] I Joan. II, 18.

ἔκλυτος, ὡς τὴν εἰς τὸν Χριστὸν ἀνάλυσιν δευτέραν θέσθαι τῆς μετὰ τοῦ πηλοῦ διαμονῆς καὶ συμπήξεως. Εἰς βασιλείαν ἡμᾶς ὁ Χριστὸς καλεῖ τὴν οὐράνιον. Δεσποτικὸν τὸ ἐπίταγμα· γενναῖον ἀναλάβωμεν φρόνημα. Ἰσχυρὸς ὁ καλῶν· μὴ ἀσθενῶμεν τῇ γνώμῃ πρὸς τὸν ὑπὲρ ἔννοιαν πλοῦτον, καὶ λογισμοῖς μικρολογῶμεν περὶ τὰ ὁρώμενα. Τί τοῖς ὁρωμένοις ἐγκαταμένομεν; Τί τῆς πατρῴας ὑπερορῶμεν ἑστίας; Πόλις ἡμῶν καὶ πατρὶς, ἡ ἄνω Σιών· ἡ τῶν ἁγίων μητρόπολις, τὸ τῶν πατριαρχῶν οἰκητήριον, οὗ οὐκ ἔστι δάκνων ὄφις ἐφ' ὁδοῦ ἐγκαθήμενος πτέρναν, καὶ ἀπείργων τὴν εἴσοδον. Σιὼν, ἧς οἱ πύργοι ἐπὶ τῶν χειρῶν Κυρίου πεπήγασιν· ἧς αἱ πύλαι γλύμμα, πρὸς τὴν ἐκεῖθεν εἰσάγουσαι τοὺς εἰσιόντας μακαριότητα, ἧς τό τε εἶδος καὶ κάλλος οἶδεν ὁ κατασκευάσας Θεός. Περιουσία δὲ τῶν πιστῶν, ἡ ἀγήρως ζωὴ, τὸ ἀνεκλάλητον φῶς, ἡ ἀθάνατος βασιλεία, τῶν ἀποκειμένων τοῖς ἀξίοις ἀγαθῶν ἡ ἀντίδοσις· ἃ μήτε ὀφθαλμοῖς ὁρατὰ, μήτε καρδίᾳ ληπτὰ, ἃ τοῖς ἀγαπῶσιν αὐτὸν ἡτοίμασεν ὁ Θεός.

[p] Eccl. xxii, 10. [q] Prov. xiii, 9. [r] Job xxix, 2. [s] ibid. 3. [t] Psal. cxxxviii, 11. [u] Joan. i, 5. [v] Act. xvii, 28. [x] Sap. iii, 1.

corporum caducam atque dissolutioni comparatam concretionem, ut sit vilis, nihilque a brutis differat? Progredere paululum, perspicuasque meorum verborum probationes acceperis. Sensim procede ac lento gradu ad monumenta in suburbiis posita (11), sermonumque illic eventum interroga. Velut per fenestram incumbe tumulis, nec et detrectaveris, planeque videbis spectaculum rerum offendaris aspectu, neve retuleris pedem quod molestum sit, non quod recreet.

Enimvero clare intellige, exque turpi illa quam aspectas resolutorum cadaverum specie, superbiæ nostræ miseriam animo exprime. Sustine parum ut percipias fetorem; quippe noster est, non alienus. Sustine virili animo inde erumpentem putoris olentiam, fluoremque male exhalantem. Feras quoque grave aspectu vermium spectaculum, tabe fluens illud, ac sanie obrutum. Sed et curiosius, si libet, attende, et discerne, si potes, ac os ossi compone: atque ut volueris partes singulas seu membra, quæ dissoluta vides, tuis ipse manibus strue et agglomera. Disce num vel minimum possis dicere: cujusnam hæc? cujusnam illa? sive quis hic? quisve ille? Senexne an juvenis, hic aut ille mortuus sit? Vel utrum hic quidem, ubi vixisset felix, ille autem ubi afflicte mœrensque vita functus sit? Ac utrum hic quidem vitæ fuerit brevis, ille autem longævæ? Num hic gloriose vixerit, ille inglorie? Hæc disce, et diligenter considera, num res sit multi plena pudoris ac tristitiæ, miserabilisque, quo prius majori compactio videbatur plena venustate.

Quid enimvero? Nonne turpe spectaculum illud, multaque plenum insuavitate? Dissolutæ carnes, visceraque, et partes, figmentique decor, computrefacta ac tabo fluentia? Ac quisque nostrum, eadem plane ratione depositus loculo, corrumpendus est, eademque vermium consumentium esca, dissolvendus. Intellige, o homo, quod dicitur. Circumspice sepulcra: vide ossa nostra, et ad te conversus, luge; altum geme ex imo pectore. Miseram deplora humanam vilitatem, quæ finem ejusmodi acceperit. Perspice, ac si potes, discerne et edicito quisnam rex; quis privatus; quis dives, quisve pauper; quis gloriosus, quisve inglorius; quis liber, quisve servus; quis miles, quisve dux exercitus; quis justus, quisve reus; quis philosophus, quisve rusticus; quis orator, quisve barbarus; quis Romanus, quis civis, quis ruricola, quis Chananæus, quisve Judæus; quænam filia, quæ parens, quis pater, quisve filius? At non poteris, videns ossa tantum nuda, quemquam eorum discernere, quanquam sexcenties

A Μικρὸν αὐτοῦ πρόελθε· καὶ λήψῃ τῶν ἐμῶν λόγω τὰς ἀποδείξεις σαφεῖς. Πρόβηθι βάδην ἐν τοῖς πρὸ τ ἄστεως μνημείοις· καὶ ἀνιστόρει μοι τῶν λεγομένω τὴν ἔκβασιν. Ἐπίκυψον ὡς διὰ θυρίδος τοῖς μνήμασ καὶ μὴ ἀποκναισθῇς, μηδὲ ἀνανεύσῃς πρὸς τὰ ὁρώ μενα· καὶ ὄψει τὴν ἀνιῶσαν, οὐ τὴν τέρπουσαν θέα

Ἀλλ' ἐπίστηθι τρανῶς, καὶ ἀνατύπωσαί μοι δι τῆς φαινομένης τῶν νεκρῶν σωμάτων εἰδεχθοῦς δια λύσεως, τῶν ἡμετέρων ὀφρυωμάτων τὴν ἀθλιότητα Ἀνάσχου μικρὸν ἀντιλαβέσθαι τῆς δυσωδίας· ἡμε τέρα γάρ, οὐχ ἀλλοτρία. Φέρε γενναίως τὴν ἀναδιδο μένην αὐτόθεν τῆς σηπεδόνος ὀσμήν τε καὶ δυσδιά πνευστον ἐκροήν. Καρτέρει δὲ τὴν ἐκ τῶν σκωλή B κων δυσθεώρητον ὄψιν, μυδῶσάν τε καὶ ἰχῶρσι ἐγκεχωσμένην [37]. Πρόσεχέ τε καὶ περιεργότερον, ε βούλει, καὶ διάκρινον, εἰ δυνατῶς ἔχεις, καὶ συνάρ μοσον ὀστοῦν πρὸς ὀστοῦν, καὶ ὡς ἂν θέλῃς, ἕκαστα τῶν φαινομένων καὶ λελυμένων μερῶν ἢ μελῶν, ταῖς ἑαυτοῦ χερσὶν ἐπιστοίβασον. Κατάμαθε τούτων ἕκαστον, εἰ δυνήσῃ κἂν μετρίως εἰπεῖν, τίνος ἐκεῖνα, καὶ ποίου ταῦτα, ἢ τίς οὗτος, καὶ τίς ἐκεῖνος· καὶ εἰ γέρων ἢ νεανίας, ἐκεῖνος ἢ οὗτος, τεθνᾶσιν, ἢ ὁ μὲν εὐημερίαις, ὁ δὲ ἀνίαις ἐζηκώς, καταλελύκα τὸν βίον· καὶ εἰ ὁ μὲν ὀλιγόβιος, ὁ δὲ μακροβιώτατος· ἢ ὁ μὲν ἐνδόξως, ὁ δὲ ἀδόξως ἐβίω. Ταῦτα κατάμαθε καὶ περισκόπει· καὶ εἰ μὴ πολλῆς γέμει τῆς κατηφείας καὶ σκυθρωπότητος, ὅσῳ καὶ τῆς C ὡραιότητος κατὰ τὸ δοκοῦν περὶ τὴν σύμπηξιν πρότερον.

Καὶ τί γάρ; Οὐκ εἰδεχθὴς ἡ θέα, καὶ πολλῆς γέμουσα τῆς ἀηδίας; Σάρκες διαλελυμέναι, καὶ σπλάγχνα, καὶ μόρια, καὶ τὸ τῆς διαπλάσεως κάλλος, ἐνσηπόμενά τε καὶ συνεκρέοντα; Οἷς ὁμοίως ἕκαστος ἡμῶν ἐν σοροῖς κατατεθεὶς διαφθείρεται, καὶ τῇ αὐτῇ τῶν σκωλήκων βορᾷ δαπανώμενος λύεται. Σύνες, ἄνθρωπε, τὸ λεγόμενον· περίβλεψε τοὺς τάφους· ἴδε τὰ ὀστᾶ ἡμῶν, καὶ πρὸς ἑαυτὸν συστραφείς, δάκρυσον· στέναξον ἐκ βάθους μέγα. Ταλάνισον τὴν ἀνθρωπίνην εὐτέλειαν, ποίου τοῦ τέλους ἔτυχε. Κατανόησον, καὶ εἰ δυνατῶς ἔχεις, διάκρινον, καὶ εἰπέ, τίς ὁ βασιλεύς, τίς ὁ ἰδιώτης· τίς ὁ πλούσιος, ἢ τίς ὁ πένης· τίς ὁ ἔνδοξος, ἢ τίς ὁ ἄδοξος· τίς ὁ D ἐλεύθερος, ἢ τίς ὁ δοῦλος· ποῖος στρατιώτης, ἢ ποῖος ὁ στρατιάρχης· τίς ὁ δίκαιος, ἢ τίς ὁ κατάκριτος· τίς ὁ φιλόσοφος, ἢ τίς ὁ ἄγροικος· τίς ὁ ῥήτωρ, ἢ τίς ὁ βάρβαρος· τίς ὁ Ῥωμαῖος· τίς ὁ πολίτης, καὶ τίς ὁ ἀγρότης· τίς Χαναναῖος, καὶ τίς Ἰουδαῖος· τίς ἡ τεχθεῖσα, τίς ἡ τεκοῦσα· τίς ὁ πατήρ, ἢ τίς ὁ υἱός. Ἀλλ' οὐκ ἂν ἔχοις, γυμνὰ μόνον ὀστέα βλέπων, διακρῖναι τούτων τινά, κἂν μυριάκις εἴπῃς·

VARIÆ LECTIONES

[37] ἀλλ. ἐγκεχρωσμένην.

COMBEFISII NOTÆ.

(11) *Ad monumenta in suburbiis posita.* Ἐν τοῖς πρὸ τοῦ ἄστεως μνημείοις. Velut ad portam et foris juxta urbem. *Illic* enim sepeliebantur fidelium corpora, vix in urbibus, vetantibus Romanis legibus, quibus tamen paulatim derogatum est. Accuratius de sepulturis noster Goar in *Euchologiis*.

κἂν ὅλην σεαυτῷ περικυκλοῖς τῶν γνωστικῶν γυμνασμάτων τὴν πολυμάθειαν. Οὕτω μοι τάχα κατανοήσεις, καὶ τῶν τῇδε πραγμάτων ὅσα ῥεῖ καὶ παρέρχεται κατὰ τὸν βίον, τὴν εἰς τὸ μὴ ὂν μεταχώρησιν. Ἄν τε γὰρ πλοῦτον εἴποις, ἄν τε ἀξίαν, ἄν τε δόξαν τὴν ἀπανθοῦσαν, ἢ κράτος, ἢ δυναστείαν, ἢ κάλλος, ἢ ῥώμην, ἢ μέγεθος, ἢ εὐγένειαν, ἤ τι τῶν ἀρίστων ἢ χειρίστων παρ' ἡμῖν εἶναι δοκούντων, τὴν ἴσην τοῖς ἡμετέροις ὀστέοις διάλυσιν πείσεται. Καὶ χρυσὸς μὲν ἐκ μετάλλων ἀνειλημμένος, καὶ χωνείᾳ παραδοθεὶς, καὶ πυρὶ δοκιμασθεὶς, ὀβρυζιωτέραν ἑαυτοῦ τὴν παροψίδα τοῖς χρυσοτέχναις παρίστησιν· ἄργυρος δὲ πυρωθεὶς, τῷ χρυσῷ παραπλησίως ἐκκαθαίρεται καὶ λευκαίνεται· καὶ κογχύλης μὲν αἷμα βάπτει πορφύραν· καὶ μαργαρίτην ἐκτρέφει ζάμμυξ θαλάσσιος· καὶ σμάραγδος ἐκ γῆς χλοάζων φύεται λίθος· καὶ σηρικὸν ἐκφύει σκώληξ τρεφόμενος ὕφασμα· καὶ πίνναι θαλάττιοι ξένην μηχανώμεναι κρόκην, διπλῆν τὴν χρείαν παρέχουσιν. Ἐχῖνοι δὲ καὶ μηκάδες καὶ μέλισσαι· οἱ μὲν, ἐνύγρων ὄψων νόστιμον ἡμῖν καρυκεύουσι πέμμα· αἱ δὲ γλυκὺ ἀπὸ μαζῶν καταστάζουσι γάλα· τὸ μὲν πρόσφατον ἡμῖν σχεδιάζουσαι πόμα· τὸ δὲ τυρωθὲν, μόνιμον ἑτοιμάζουσαι βρῶμα. Καὶ μέντοι πρόβατα τὴν ἴσην ἡμῖν ἐμπαρέχουσι χρείαν· ἄμφω δὲ τὴν ἐκ τριχῶν ἀποκειρομένην ἔριθον προϊσχόμενα, θαυμαστὴν ἄγαν ἡμῖν ἐπιχορηγοῦσιν ἀμφίεσιν. Αἱ δὲ, τῶν ἑξαγώνων συρίγγων τὰς θήκας ἀναπιμπλῶσαι μέλιτος, ἄρτι τῶν σίμβλων ἀπαίρουσι, καὶ τὰ κηρία γλυκασμὸν ἀποστάζοντα, τοῖς τρυγηταῖς καταλείπουσι· ἔργον σοφίας γνώρισμα, καὶ πτηνοῦ τίμιον εὐτελοῦς φιλοτέχνημα, χρείας εὕρημα βίου, φύσεως μουσουργίᾳ φιλοπόνοις ἐρανιζόμενον πτήσεσι. Καὶ πάντων ἁπλῶς τῶν ὅσα τὸν βίον ἡμῖν συνιστᾷ, χρησιμώτατα καὶ τερπνότατα, καὶ εἴ τι τούτοις ὡραῖον φιλοτίμως συνέζευκται, τὴν ἴσην διαφθορὰν ὑφιστάμενα τοῖς ὑπὸ τροπὴν, ἐφάμιλλον τὴν διάλυσιν ἔχουσι· κἂν ὅτι τὸ καθ' ἡμᾶς ἑτεροίως ἔχον παρὰ ταῦτα, τῇ ἀναστάσει τετίμηται· καὶ τῇ ἀνακαινίσει

A dicas : quanquam tibi totam gnosticorum exercitamentorum multiplicem disciplinam velut orbe asciveris. Sic utique, et rerum hujus sæculi, si quæ per vitam fluunt prætereuntque, cessionem mutationemque in nihilum consideraveris. Sive enim divitias dixeris, sive dignitatem, sive deflorentem gloriam, aut imperium, aut magistratum, aut pulchritudinem, aut robur, aut magnitudinem, aut nobilitatem : sive quid aliud, tum quod optimum habeatur humano judicio, tum quod pessimum, eadem, atque ossa nostra, ratione, dissolvendum est. Ac aurum quidem ex auri fodinis assumptum, ac fornaci traditum, ignique probatum, obryzam magis ex ipso patinam aurificibus exhibet : argentum autem igni examinatum,
B proxime auro emundatur candoremque induit : item conchylii sanguis purpuram inficit; margaritamque alit marinus zammyx (12): sed et lapis smaragdus viridi colore e terra nascitur; vermisque altus producit sericum; ac marinæ pinnæ, novam molitæ tramam, usum duplicem præbent (13). Echini autem, et capræ, et apes, e quibus illi quidem dulces nobis aquatilium obsoniorum (14) cupedias condiunt, illæ autem lac dulce ab uberibus ubertim stillant : qua novum ceu ex tempore, potum præbentes ; qua, coagulo, parantes solidam escam : sed et oves eidem usui sunt, ac utræque detonsam pilis lanam proferentes valde mirabilem vestitum subministrant. Ilæ demum sexangularum fistularum loculos melle im-
C plentes, interim alvearibus abeunt, vindemiantibusque favos dulcedinem distillantes relinquunt : plane illud sapientiæ specimen, pretiosumque vilis volatilis arte factum, ac usus vitæ inventum, naturæ modulantia argumentosis volatibus corrogatum. Omnium denique quibus nobis vita constat, utilissima quæque ac suavissima : ac si quid iis ambitiose ad speciem decoremque conjunctum est, eidem, pro mutabilium rerum ratione, corru-

COMBEFISII NOTÆ.

(12) *Zammyx.* Ζάμμυξ. Alius codex ζάμβυξ. Vox est ignotior, et ut videtur peregrina, ut sunt Græci ejusmodi vocum, maxime peregrinis rebus significandis, studiosi, Eustathius ait dictum ostreum illud lingua Indica *βέρβερι*. φέρον τὸν θαυμαζόμενον μαργαρίτην λίθον. Sic Athen. lib. III : Γίνονται δὲ πορφύραι τε καὶ ὀστρέων πολὺ πλῆθος τῶν ἄλλων· ἓν δὲ ἴδιον, ὃ καλοῦσιν ἐκεῖνοι *βέρβερι*, ἐξ οὗ ἡ μαργαρίτης λίθος. *Peculiare quoddam dictum ab illis* βέρβερι, *ex quo est margarita lapis*. Damasc. orat. I. in Nativit. Mariæ, communi nomine κόχλον vocat, refertque optime in eamdem Mariam, quæ Margaritum Christum Dominum Spiritus sancti rore fecundante, Virgo concepit. Prodierit ea oratio vix non nova ope regiorum codicum, depravatissime a Billio edita malo codice. Non possum illud secunda in eamdem orat. ad idem omittere, ubi ait Damascenus induisse carnem, ἣν ἐξ ἀχράντων καὶ παρθενικῶν αἱμάτων βαφεῖσαν ἐν πνεύματι, βασιλικῶς ἐκογχύλωσε, Billius, quod mireris *tanquam in conchylium efformarit*. Quis metaphoram ita duram a
D Damasceni facili ingenio exspectaverit? Ipse se Damascenus exponat, quanquam est alioqui clarus in ipsis verbis positis : Καὶ οἱονεὶ πορφύραν βασίλειον ὑποδὺς, περιέθετο τὸ ἡμέτερον φύραμα. Constans ergo est in metaphora regiæ purpuræ, quæ et Andreæ orat. in Nativitatem Mariæ, aliisque communis est. Τὸ, ergo ἐκογχύλωσε, plane est *purpuravit*; quanquam eam vocem Lexica non habent, ut nec plurimas probe Græcas. Plurima revera peccavit Billius in Damasceno, ejus nova editione non permittenda. Habet eamdem fere Andreas Orat. in Nat. sanctæ Mariæ, quem videtur in multis hic assectatus Damascenus.

(13) *Usum duplicem præbent.* Διπλῆν παρέχουσι χρείαν. Ut se nimirum, et squillam, quo monitore præsentem venatum sentiunt, eo nutriant : qua de re Arist. lib. V, *De historia anim*, cap. 15; et Plin. lib. IX, cap. 42, etc.

(14) *Aquatilium obsoniorum cupedias condiunt.* Ἐνύγρων ὄψων νόστιμον καρυκεύουσι σπέρμα. Velut delicatiores cibi, et quasi condimentum proritandæ gulæ. Sunt echini isti et erinacei marini, noti satis pisciculi inter crustatos.

ptioni obnoxia, parem interitum subeunt: quanquam in nobis, resurrectionis prærogativa, res aliter atque in aliis habeat, qui resurrectione instaurante Deo effecti conformes, deitatem recipimus, quæ est gratia.

A τῆς ἀναστάσεως Θεῷ συμμορφούμενον, τὴν ἐν χάριτι θέωσιν ἐπιδέχεται.

Hinc habes, dilecte, miseræ nostræ sortis exploratiorem obscuritatem. Vin' et hac tibi ignominia ignominiosiorem vilitatem ostendam? Primam accipe inconstantis nostræ vertiginis imaginem; diurnam, inquam, rerum velut rotationem. Utique enim res nostras videbis non eodem statu, sed quæ quotidie ceu errore ferantur; atque pars quidem, susdeque instabiliter vertantur; pars autem, tumultuarie nulloque delectu permisceantur, nec prorsus firmitatem aliquam constantem habeant: mihique quæ sunt humana vere delineanti fidem adhibe; exque iis quæ quotidie fiunt, planam probationem accipe. Videsis enim, qualiter nostra habeant. Qui heri inauratis sedibus sublimis curru vehebatur, superciliis elatis frontosusque, turbis quas ciebat intolerabilis militaribusque circumquaque stipantibus ordinibus, hodie tumulo deponitur, gestatur lecto, deploratus, miserabilis, ad sepulcrum elatus mortuus, circumglomerata multitudine, canticis lugubribus personantibus, cereis prælucentibus, ac brevi post, omnibus relinquentibus. Quippe demortui amicus, ad usque solum sepulcrum. Quem heri faustis prosequebantur ominibus, hodie deplorant. Qui heri magistratu tumebat, hodie adversa tenetur valetudine. Qui heri in civitate erat, hodie versatur in lecto. Qui heri formidabilis, hodie fetet. Qui heri speciosus, hodie nauseam movet. Qui heri magnus, hodie niger. Qui heri domi, hodie depositus tumulo. Qui heri perspirabat unguenta, male hodie olet, et vermibus scatet; cariem redolet, et est plenus fetore.

Ἔχεις ἐντεῦθεν, ἀγαπητὲ, βεβαιοτέραν τῆς ἡμετέρας περιπετείας τὴν ἀδηλότητα. Βούλει σοι καὶ ταύτης ἑτέραν δείξω τῆς ἀδοξίας ἀτιμοτέραν εὐτέλειαν; Λάβε μοι πρώτην εἰκόνα τῆς ἡμῶν ἀστάτου περιτροπῆς, τὴν καθημέραν λέγω τῶν πραγμάτων περιφορὰν καὶ ἀλλοίωσιν. Ὁρᾷς γὰρ ἴσως οὐκ ἐν ταυτῷ τὰ ἡμέτερα· τηνάλλως δὲ καθημέραν παρατρεπόμενα· καὶ τὰ μὲν ἀστάτως ἄνω καὶ κάτω στρεφόμενα· τὰ δὲ χύδην ἢ φύρδην ἀναμιγνύμενα καὶ συνόλως τὸ στάσιμον οὐκ ἔχοντα βέβαιον· καί μοι πρὸς ἀλήθειαν τὰ καθ' ἡμᾶς ὑπογράφοντι, πείσθητι, καὶ διὰ τῶν ὁσημέραι τελουμένων, δέχου B σαφῆ τὴν ἀπόδειξιν. Ἴδε γὰρ οἷα νῦν τὰ ἡμέτερα· ὁ χθὲς ἐπιδίφριος χρυσοκολλήτοις θώκοις ἐνθρονιζόμενος, ἄνω τὰς ὀφρῦς ἔχων, καὶ κυκῶν ἀκαρτέρητα, καὶ πλήθει ταγμάτων περιστοιχούμενος, σήμερον ἐπιτύμβιος, κλινοφορούμενος, σχέτλιος, ἐλεεινὸς, ἐν τάφῳ νεκρὸς ἀπαγόμενος, πλήθει κυκλούμενος, θρηνούμενος [38], κηρίοις δᾳδουχούμενος, καὶ μετ' ὀλίγον, πρὸς πάντων ἀφέμενος. Νεκροῦ γὰρ φίλος, ἄχρι μόνον τοῦ μνήματος. Ὁ χθὲς εὐφημούμενος, σήμερον οἰκτιζόμενος· ὁ χθὲς δυναστείᾳ φυσώμενος, σήμερον ἀῤῥωστίᾳ συνεχόμενος· ὁ χθὲς ἐν πόλει, σήμερον ἐν κλίνῃ· ὁ πρὸ μικροῦ φοβερὸς, σήμερον ὀδωδώς· ὁ χθὲς ὡραῖος, σήμερον φευκτέος. Ὁ σήμερον μέγας, αὔριον μέλας· ὁ χθὲς ἐν οἴκῳ, σήμερον ἐν τάφῳ· C ὁ χθὲς μυριζόμενος, σήμερον ὀζόμενος, καὶ σκωλήκων βρύων, καὶ σαπρίας ἀπόζων, καὶ δυσωδίας πλήρης.

Viden' ad quantum dedecus nostra illa existimata gloria et nobilitas devenit? Vidistin' exsuperantem mutationem, gloriæque et rerum variationem ac alterationem? Nosti quo tendant humana? Nam cedo, ubi divitiæ? Ubi vero jactantia et fastus? Ubi equi auratis frenis? Ubi Indicarum gemmarum ingentis pretii splendida circumposita ornamenta? Ubi monilia aurea? Ubi currentes a latere, præeuntes, satellites, qui submoveant obvios omnes atque conturbent; magistratus, imperia, concilia, edicta, bellica facinora? Nonne omnia cinis? Nonne terra universa et pulvis, ac viliora umbra? Ubi universa hæc? Transierunt. Ubi tanta gloria? Ubi usus? Periit. Ubi hic aut ille, qui heri præ omnibus gloriabantur, magistratusque amplitudine plerisque eminebant? Ubi ille talis amicus? Defunctus est. Ubi vero illius uxor, hujusve filia, ac filius istius? Defecerunt; hic quidem nuper, ille a longo tempore; hic quidem in alieno solo, hic autem in patria; atque hic aquis submersus, ille a bestiis devora-

Εἶδες, εἰς οἷον ἀδοξίας ἡμῖν ἡ δοκοῦσα κατήντησεν εὔκλεια; Εἶδες μεταβολῆς ὑπερβολὴν, καὶ δόξης καὶ πραγμάτων παραλλαγὴν καὶ ἀλλοίωσιν; Ἔγνως, ὅποι χωρεῖ τὰ ἡμέτερα; Ποῦ γὰρ ὁ πλοῦτος; εἰπέ μοι· ποῦ δὲ ὁ κόμπος; ποῦ οἱ χρυσοχάλινοι ἵπποι; τὰ ἐκ λίθων Ἰνδικῶν βαρυτίμων περιφανῆ περιθέματα; τὰ ἐκ χρυσοῦ περιδέῤῥαια, οἱ παρατρέχοντες, οἱ προάγοντες, οἱ δορυφόροι, οἱ τὸ πᾶν σοβοῦντες καὶ συνταράσσοντες, αἱ δυναστεῖαι, τὰ κράτη, τὰ βουλευτήρια, τὰ προγράμματα, τὰ ἐν πολέμοις ἀνδραγαθήματα; Οὐ πάντα τέφρα; οὐ πάντα γῆ καὶ σποδὸς, D καὶ σκιᾶς εὐτελέστερα; Ποῦ ταῦτα πάντα; οἴχεται. Ποῦ ἡ τοσαύτη δόξα, ποῦ ἡ χρῆσις; ἀπόλωλε. Ποῦ ὁ δεῖνα καὶ ὁ δεῖνα, οἱ χθὲς μέγα παρὰ πάντας ἀνειλημμένοι γαυρίαμα, καὶ δυναστείας ὄγκῳ τῶν πολλῶν ὑπερέχοντες; Ποῦ δὲ ὁ φίλος ὁ δεῖνα; κεκοίμηται. Ποῦ δὲ ἡ τοῦδε γυνὴ, καὶ ἡ τῆσδε θυγάτηρ, καὶ ὁ τοῦδε υἱός; ἐκλελοίπασιν. Ὁ μὲν πρὸ βραχέος, ὁ δὲ πρὸ πολλοῦ· ὁ μὲν ἐπ' ἀλλοδαπῆς, ὁ δὲ ἐπὶ τῆς πατρίδος· ὁ δὲ ὑποβρύχιος· ὁ δὲ θηριάλωτος. Εἰκότως οὖν ἁρμόσει τούτοις τὸ τοῦ Ἐκκλησια-

VARIÆ LECTIONES.

[38] *Ἄλλ.* θρηνῳδούμενος.

στοῦ ῥητὸν, φήσαντος· « Ματαιότης ματαιοτήτων· τὰ πάντα ματαιότης, καὶ προαίρεσις πνεύματος. » Εἰ γὰρ, κατ' αὐτὸν ἐκεῖνον αὖθις εἰπεῖν τὸν θειότατον, « Τὰ πάντα ἐκ τοῦ χοὸς γέγονε, καὶ τὰ πάντα εἰς τὸν χοῦν ἐπιστρέφει· συνάντημα δὲ τοῦ κτήνους, ὡς συνάντημα [ἐν] ἀνθρώποις· καὶ ὡς ὁ θάνατος τούτου, οὕτως ὁ θάνατος τούτου· καὶ οὐδὲν ἐπερίσσευσεν ἄνθρωπος παρὰ τὸ κτῆνος· καὶ τίς εἶδε τὸ πνεῦμα οἷον [39] τοῦ ἀνθρώπου· εἰ ἀναβαίνει αὐτὸ εἰσάνω; καὶ [τὸ πνεῦμα] τοῦ κτήνους, εἰ καταβαίνει κάτω εἰς γῆν; » Μάτην οὖν ἡμῖν ὁ κόπος, καὶ ἡ τοῦ πλούτου τρυφὴ, καὶ ἡ ἐπ' ἀδήλῳ κειμένη τῶν ῥεόντων εὐπάθεια. Καὶ εἰ βούλει μικρὸν αὐτοῦ που τὸν λόγον ἀναλαβὼν, ὑποδείξω τὴν ὅλην τοῦ βίου διαγωγὴν, περιφορᾶς οὐδὲν διαφέρουσαν.

Ἄκουε γοῦν, οἷα τῷ καθ' αὐτὸν ὑποδείγματι ὡς ἐν εἰκόνι τὰ καθ' ἡμᾶς διαγραφόμενος ὁ Ἐκκλησιαστὴς, ὑποτίθεται. « Ἐγὼ, φησὶν Ἐκκλησιαστὴς, ἐγενόμην βασιλεὺς ἐπὶ Ἰσραὴλ ἐν Ἱερουσαλήμ· καὶ ἔδωκα τὴν καρδίαν μου, τοῦ ἐκζητῆσαι, καὶ τοῦ κατασκέψασθαι ἐν τῇ σοφίᾳ περὶ πάντων τῶν γενομένων [40] ὑπὸ τὸν οὐρανόν· ὅτι περισπασμὸν πονηρὸν ἔδωκεν ὁ Θεὸς τοῖς υἱοῖς τῶν ἀνθρώπων, τοῦ περισπᾶσθαι ἐν αὐτῷ. Καὶ εἶδον σύμπαντα τὰ ποιήματα τὰ πεποιημένα ὑπὸ τὸν ἥλιον, καὶ ἰδοὺ τὰ πάντα ματαιότης καὶ προαίρεσις πνεύματος. » Καὶ αὖθις· « Ἰδοὺ ἐγὼ ἐμεγαλύνθην, καὶ προσέθηκα σοφίαν ἐπὶ σοφίαν πᾶσαν, ἣ οἱ ἔμπροσθέν [41] μου ἐπὶ Ἱερουσαλήμ· καὶ ἔδωκα τὴν καρδίαν μου γνῶναι σοφίαν καὶ γνῶσιν. [Καὶ καρδία μου εἶδε πολλὰ, σοφίαν καὶ γνῶσιν], παραβολὰς καὶ ἐπιστήμην. Ἔγνων ἐγὼ, ὅτι καί γε τοῦτό ἐστι προαίρεσις πνεύματος· ὅτι ἐν πλήθει σοφίας πλῆθος γνώσεως· καὶ ὁ προστιθεὶς γνῶσιν, προστίθησιν ἄλγημα. » — « Τῷ γέλωτι εἶπα περιφοράν, καὶ τῇ εὐφροσύνῃ, Τί τοῦτο ποιεῖς; » Καὶ μετ' ὀλίγα· « Ἐμεγάλυνα, φησὶ, ποίημά μου, ᾠκοδόμησά μοι οἴκους, ἐφύτευσά μοι ἀμπελῶνας, ἐποίησά μοι κήπους καὶ παραδείσους, καὶ ἐφύτευσα ἐν αὐτοῖς πᾶν ξύλον πάγκαρπον. Ἐποίησά μοι κολυμβήθρας ὑδάτων, τοῦ ποτίσαι

A tus. Jure igitur merito congruet istis verbum illud Ecclesiastæ dicentis : « Vanitas vanitatum : omnia vanitas, et præsumptio spiritus [y] (15). » Cum enim, ut iterum cum admirabilissimo illo dicam : « Omnia facta sint de pulvere, etiam omnia revertuntur in pulverem : et eventus pecoris, sicut quod hominibus evenit ; et sicut mors hujus, ita mors illius ; et nihil abundavit homo a pecore ; et quis novit spiritus filiorum hominis si ascendat ipse sursum ; et spiritus pecoris, si descendat ipse deorsum in terram [z] ? Frustra ergo laboramus, et deliciamur divitiis, rerumque fluxarum incerto afficimur. Quod si libet, resumpto parum ejus sermone, totam vitæ nostræ rationem nihil a circumlatione adversam ostendam.

B Audi itaque, qualia suo ipse exemplo, ceu in imagine, nostra depingens Ecclesiastes doceat. « Ego, » inquit Ecclesiastes, « fui rex super Israel in Jerusalem : et dedi cor meum ad inquirendum et considerandum in sapientia de omnibus quæ facta sunt sub cœlo : quoniam distensionem malam dedit Deus filiis hominum, ut distendantur in ea. Et vidi universa opera quæ facta sunt sub sole : et ecce omnia vanitas, et præsumptio spiritus [a]. » Et iterum : « Ecce ego magnificatus sum, et adjeci sapientiam supra sapientiam, plusquam ii qui fuerunt ante me in Jerusalem. Et dedi cor meum ut noscerem sapientiam et scientiam : [Et cor meum vidit multa, sapientiam et scientiam,] parabolas et scientiam. C Cognovi ego, quia et hoc est præsumptio spiritus. Quia in multitudine sapientiæ, multitudo cognitionis : et qui apponit scientiam, apponit dolorem [b]. » — « Risui dixi circumlationem, et jucunditati, Quid hoc facis [c] ? » Et post pauca : « Magnificavi, inquit, opus meum ; ædificavi mihi domos ; plantavi mihi vineas ; feci mihi hortos, et pomaria, et plantavi in illis omne lignum omnis (16) fructus. Feci mihi piscinas aquarum, ad irrigandum ex eis nemus fruticum ac arbores (17). Possedi servos et ancillas ; et vernaculi fuerunt

[y] Eccle. I, 2. [z] Eccle. III, 19, 21. [a] Eccle. I, 13, 14. [b] ibid. 16, 18. [c] Eccle. II, 2.

VARIÆ LECTIONES.

[39] γρ. υἱῶν ut apud Septuag [40] Apud Septuag. γινομ. [41] ἄλ. ἐπὶ πᾶσιν, οἳ ἐγένοντο ἔμπροσθεν, ut Septuag.

COMBEFISII NOTÆ.

(15) *Et præsumptio spiritus.* Καὶ προαίρεσις πνεύματος. Velut animi cogitationes et motus, quos homo, et quibus, se volens pascat, atque affligat : *Songes creux :* meliusque expressit Vulg. Afflictio spiritus. Tigur. Animi molestia. Hebraice est רעות רוח : Aquila, καὶ νομὴ ἀνέμου, *pastio venti :* æquivoco nomine Hebræo רוח sicut et nobis nomine *Spiritus*, ad ventum et animam : ut τὸ προαίρεσις reddatur, *præsumptio*, permittit Hieronymus, etsi non omnino probat : ac vere novum est et insolens. Quod paulo post sequebatur post illa verba : Ἐγὼ, φησὶν Ἐκκλησιαστὴς, ἐμεγαλύνθην καὶ προσέθηκα, velut posita anticipato, et pertinentia ad sequentia, ubi suo loco ponuntur, delevimus : aliaque clausa ex textu LXX, adjeci- D mus. Sunt crebræ lacunæ ubi citantur loci, ac præcipue, sicubi eadem repetantur verba, ut illic accidit. Eadem vox Hebraica est quam LXX γνῶσιν et ἐπιστήμην, reddiderunt, velut tantum variantes ad ornatum.

(16) *Omne lignum omnis fructus.* Πᾶν ξύλον πάγκαρπον. Deest altero codice τὸ, πᾶν. LXX, ξύλον πᾶν καρποῦ, quod idem est ; habentque Hebræa ad verbum. Vulg. *Conseri ea cuncti generis arboribus :* quod est paulo latius : non restringendo ad pomiferas, quæ sola sunt עץ פרי.

(17) *Nemus fruticum et arbores.* Δρυμὸν βλαστῶν καὶ τὰ ξύλα. Ita uterque codex. Sed melius LXX, βλαστῶντα ξύλα. Vulg. *Silvam lignorum germinantium.* Sed est res levior.

mihi : et quidem possessiones armenti et ovium multæ fuerunt mihi, supra omnes qui fuerunt ante me in Jerusalem. Congregavi mihi etiam argentum et aurum, et opes regum et provinciarum. Feci mihi cantores et cantatrices, et delicias filiorum hominum; vini fusores, et vini fusitrices. Et omne quod postulaverunt oculi mei, non abstuli ab eis. Non prohibui cor meum ab omni lætitia : quia cor meum lætatum est in omni labore meo. Et respexi ego ad omnia opera mea, quæ fecerunt manus meæ, et in laborem meum, quo laboraveram faciendo. Et ecce omnia vanitas, et præsumptio spiritus [d]. »

Vides, ad quam vilitatem vita nostra procedat? Vidistin' quonam miseriæ gloria tanta nostrum redigat fastum? Abstine igitur, homo, ab ejuscemodi voluptatibus, nec iis diffluere velis, quæ sunt hodie, nec in crastinum erunt : ac ne luxeris eum qui defunctus, rerum omnium vanitatem reliquit, resque manentes caducis commutavit : rursus enim sermonem ad eum convertam. At misereris juventæ? Enimvero tui ipsius veterati miserere, qui ad tantam profectus canitiem, fors nihil e virtute gesseris. At, inquit, adhuc juvenis filius, cum pubertatis annos necdum attigisset, ac neque dulci hac luce frui licuisset, velut jejunus adhuc bonorum vitæ, ut sic dicam, ita abactus est? Sed ita puer, plenus, barbatusque, ac matura ætate, certansque melioribus cum coætaneis, quibus conceditur ut clari virtute fiant, Creatori astitisset? Enimvero, haud immortalis erat. At futurum erat ut et conjugii societatem iniret, parensque filiorum efficeretur, et claritas generis, ac gloriosus senex? Enimvero non erat non morti obnoxius. At sapiens adolescens erat, acrique ingenio ac multa eruditionis peritia plerisque præstans, sociosque naturæ acumine, bonaque voluntate, et morum compositione ac vitæ institutis superans? Verum non erat æternus. Debebat jam deinceps adolescens etiam magistratibus augeri, gloriamque et dignitates, quibus vita præsens honestatur, capessere? At non erat ejusmodi, ut ei alius successurus non esset. Quod si defuncta puella quædam est, eaque ejusmodi, ut et venustate, et ætatis vigore, et magnitudine corporis, et genarum rubore floreque, aspicientium oculos ceu quadam luce perstringeret; quæque omni reliquo feminæ congruo pretiosoque mundo muliebri magnifice ornata esset : sed et demus nuptialibus comparatam thalamis, et quæ esset futura prolium mater, familiæque et generis instauratio. Enimvero alius ei thalamus paratus est : enimvero sic Providentiæ visum est. Fuit quæ migrat filiorum parens, et quæ pul-

A ἀπ' αὐτῶν δρυμὸν βλαστῶν, καὶ τὰ ξύλα. Ἐκτησάμην δούλους καὶ παιδίσκας, καὶ οἰκογενεῖς ἐγένοντό μοι· κτήσεις γε βουκολίου καὶ ποιμνίου πολλαὶ ἐγένοντό μοι ὑπὲρ πάντας τοὺς γενομένους ἔμπροσθέν μου ἐν Ἱερουσαλήμ. Συνήγαγόν μοι καὶ ἀργύριον καὶ χρυσίον, καὶ περιουσιασμοὺς βασιλέων καὶ χωρῶν. Ἐποίησά μοι ᾄδοντας καὶ ᾀδούσας, καὶ ἐντρυφήματα υἱῶν τῶν ἀνθρώπων· οἰνοχόους καὶ οἰνοχόας· καὶ πᾶν ὃ ᾔτησαν οἱ ὀφθαλμοί μου, οὐκ ἀφεῖλον ἀπ' αὐτῶν. Οὐκ ἀπεκώλυσα καρδίαν μου ἀπὸ πάσης εὐφροσύνης· ὅτι ἡ καρδία μου εὐφράνθη ἐν παντὶ μόχθῳ μου· καὶ ἐπέβλεψα ἐγὼ ἐν πᾶσι ποιήμασί μου οἷς ἐποίησαν αἱ χεῖρές μου, καὶ ἐν μόχθῳ μου ᾧ ἐμόχθησα τοῦ ποιεῖν. Καὶ ἰδοὺ τὰ πάντα ματαιότης, καὶ προαίρεσις πνεύματος.»

B Ὁρᾷς, εἰς ὅσην εὐτέλειαν ἡμῶν ὁ βίος πρόεισιν; Εἶδες ὅποι ταλαιπωρίας, ἡλίκη δόξα τὸν ἡμέτερον ἵστησι τῦφον; Ἀπόσχου τοιγαροῦν, ἄνθρωπε, τῆς περὶ ταῦτα ῥᾳστώνης, καὶ μὴ βούλου θρύπτεσθαι τοῖς σήμερον οὖσιν, οὐκ οὖσι δὲ αὔριον. Μηδὲ θρήνει τὸν τελευτῶντα, καὶ πάντων ἀφέμενον τὴν ματαιότητα, καὶ τὰ μένοντα τῶν ῥεόντων ἀνταλλαξάμενον· πρὸς αὐτὸν γὰρ αὖθις τῷ λόγῳ τετράψομαι. Ἀλλ' ἐλεεῖς αὐτοῦ τὴν νεότητα; ἀλλὰ σαυτὸν ἐλέησον γεγηρακότα, καὶ μέχρι τῆσδε τῆς πολιᾶς, ἀρετῆς τάχα κατωρθωκότα μηδέν. Ἀλλὰ νέος, φησὶν, ὁ παῖς καὶ πρὸς ἥβην οὔπω παρεληλακὼς, ὃς οὐδὲ τοῦ ἡδίστου τούτου φωτὸς παραπέλαυσεν, ἄγευστος, ὡς ἂν τις φαίη, τῶν τοῦ βίου καλῶν ἀπηγμένος; Ἀλλ' οὕτω παρέστη τῷ Κτίσαντι, C πλήρης ἡ γενειάς, καὶ πρὸς μέγεθος ἡλικίας ὁ παῖς, καὶ τοῖς ἥλιξιν ἐν τοῖς ἀμείνοσιν ἁμιλλώμενος, οἷς τὸ ἐνευδοκιμεῖν νέοις προσγίνεται; Ἀλλ' οὐκ ἦν ἀθάνατος. Ἔμελλε καὶ πρὸς γάμου κοινωνίαν ἐλθεῖν, καὶ παίδων γενέσθαι πατὴρ, καὶ γένους εὐκληρία, καὶ γῆρας καυχήσεως; Ἀλλ' οὐκ ἦν ἀτελεύτητος. Σοφὸς ὁ νεανίας, ἀγχινοίᾳ καὶ πολυπειρίᾳ παιδεύσεως τῶν πολλῶν διαφέρων, καὶ τοὺς ἑταίρους τάχει φύσεως καὶ χρηστῶν ἠθῶν γνώμῃ καὶ καταστάσει [44] καὶ βίου τρόποις ὑπερβαλλόμενος; Ἀλλ' οὐκ ἦν αἰώνιος. Ἔδει καὶ πρὸς ἀρχὰς ἤδη λοιπὸν τὸν νεανίαν ἀνάγεσθαι, δόξης τε ἀξιωμάτων ἃ τὸν τῇδε βίον καταγεραίρει, δράξασθαι; Ἀλλ' οὐκ ἦν ἀδιάδοχος. Εἰ δὲ κόρη τις ἡ τελευτῶσα καθέστηκεν, ὥρᾳ D τε, καὶ ἡλικίᾳ, καὶ μεγέθει σώματος, καὶ τῷ περὶ τὰς παρειὰς ἐρεύθῳ, τὰς τῶν ὁρώντων ὄψεις περιαυγάζουσα· πάσῃ τε τῇ λοιπῇ καὶ γυναικὶ πρεπούσῃ, καὶ στολῇ τιμίᾳ ἡ παῖς κεκαλλώπιστο· καὶ γὰρ καὶ δῶμεν αὐτὴν καὶ γαμικοῖς θαλάμοις ἐμπρέπουσαν, καὶ τέκνων ἐσομένην μητέρα, καὶ γένους ἀνόρθωσιν· ἀλλ' ἕτερος ἡτοιμάσθη ταύτῃ νυμφών· ἀλλ' οὕτως ἔδοξε τῇ Προνοίᾳ. Μήτηρ ὑπῆρχε παίδων ἡ μεταστᾶσα, κάλλει τε καὶ συνέσει καὶ σωφροσύνῃ προὔχουσα τῶν πολλῶν, ἔργοις τε δι' ὧν εἰκονίζεται γυνὴ φιλεργὸς, καὶ ἀνδρεία, καὶ φίλανδρος·

[d] Eccle. II, 4-11.

VARIÆ LECTIONES.

[44] ἀλλ. γνώμης χρηστότητι, καὶ ἠθῶν καταστάσει.

οὐ τὰς χεῖρας πρὸς ἄτρακτον ἡπλωμένας ἔχουσα μόνον, ἀλλ' ἤδη καὶ πρὸς ἅπαν ἀρετῆς εἶδος ἐκτεταμένας· κουροτρόφος τε καὶ φιλότεκνος, καὶ καλῶς ἄγαν ἐποικουροῦσα τὸν βίον, καὶ χήραις ἐπαρκοῦσα, καὶ ξένοις στέγης μεταδιδοῦσα, καὶ πτωχοῖς ἐπαρκοῦσα, καὶ εἴ τι τῶν καλῶν κατορθοῦσα; Ἀλλ' ἔδει θνητὴν πάντως οὖσαν αὐτὴν, θανάτου πεῖραν λαβεῖν. Τὸ γὰρ αὐτὸ πᾶσι πρόκειται τέλος. Ἄγε δὴ οὖν πεισθέντες ἐμοὶ (καλῶ γὰρ ἅπαντας τοὺς ὅσοι τῶν ἡμετέρων φιλοπόνως ἀκηκόατε λόγων. Οἶμαι δὲ πάντας ἐχέφρονι λογισμῷ τῶν αὐτῶν ὑποθηκῶν εἰληφέναι τὴν δι' ἀληθείας ἀπόδειξιν), μίαν ἀναλαβόντες φωνὴν κοινὴν, τὴν θείαν καὶ μακαρίαν τῆς ἀπαθοῦς φύσεως κυριότητα, καὶ θειότητα, καὶ δεσποτείαν, εὐχαριστηρίοις ἀνευφημήσωμεν ὕμνοις· Εὐλογητὸς, ᾄδοντες, ὁ μόνος αἰώνιος· ὁ μόνος ἀδιάδοχος· « ὁ μόνος ἔχων ἀθανασίαν, φῶς οἰκῶν ἀπρόσιτον· » ᾧ ἡ δόξα, τιμὴ καὶ κράτος αἰώνιον εἰς τοὺς σύμπαντας αἰῶνας τῶν αἰώνων. Ἀμήν.

A castitudine, prudentiaque et modestia, nec non operibus, quibus operosa mulier, fortisque, et viri amans ceu in imagine et suis coloribus exprimitur, plerasque mulieres præcelleret; quæ non solum haberet manus ad fusum explicatas [e], sed et ad omne jam virtutis genus extentas [f] : quæ filiorum amans, filios nutriret; bene omnino res domesticas custodiret; viduis subministraret; peregrinos tecto exciperet; pauperum necessitatibus subveniret; et si quid est boni operis gereret? Enimvero erat plane necesse ut quæ mortalis esset, mortis periculum faceret. Idem enim omnibus finis propositus est. Mihi itaque obsequentes agite. Omnes enim quotquot studiose meos sermones audistis, appello; quos omnes, iis vere probata documenta præceptaque prudenti judicio sensuque accepisse arbitror : eamdem resumentes communem vocem, divinam B beatamque impatibilis immortalisque naturæ, dominationem, divinitatemque, et imperium, comparatis ad gratiarum actionem canticis fauste prosequamur, cantico depromentes : Benedictus qui solus est immortalis, solus æternus, solus sine successore : « qui solus habet immortalitatem, habitans lucem inaccessibilem [g]. Ipsi » gloria, honor, et potestas æterna, per omnia sæcula sæculorum. Amen.

[e] Prov. XXXI, 16. [f] Tit. II, 4. [g] I Tim. VI, 16.

ΑΝΔΡΕΟΥ ΚΡΗΤΗΣ

ΠΕΡΙ ΤΗΣ ΤΩΝ ΑΓΙΩΝ ΕΙΚΟΝΩΝ ΠΡΟΣΚΥΝΗΣΕΩΣ [a].

ANDREÆ CRETENSIS

DE SANCTARUM IMAGINUM VENERATIONE.

(Boissonade, *Anecdota*, t. IV, p. 471.)

Οὐδὲν ἀναπόδεικτον ἢ ἔκφυλον ἔχει ὁ Χριστιανισμός. Καὶ αὐτὴ γὰρ ἡ τῶν ἁγίων εἰκόνων χρῆσις ἐκ παραδόσεώς ἐστι παλαιᾶς, καὶ ἔχομεν ὑποδείγματα πιστὰ συνηγοροῦντα τῇ τῶν εἰκόνων ἀποδείξει· πρῶτον μὲν τὴν Αὐγάρῳ τῷ τοπάρχῳ πεμφθεῖσαν (b) ἐν ῥάκει σεβασμίαν εἰκόνα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἐκμαγεῖον οὖσαν τοῦ σωματικοῦ αὐτοῦ χαρακτῆρος, καὶ μηδὲν ἀποδέουσαν τῆς ἐκ τῶν χρωμάτων γραφῆς· δεύτερον δὲ, τὴν τῆς ἀσπόρως τεκούσης τοῦτον Μαρίας, ἐν Λύδδῃ (c), τῇ καλουμένῃ Διοσπό-

D Nihil improbatum vel inusitatum habet Christianismus; et ipse quidem sanctarum imaginum usus antiqua fulcitur traditione, et habemus exempla inconcussa quæ militant pro imaginum expositione. Primo quidem Abgaro duci missam habemus venerandam imaginem in panniculo, Domini nostri Jesu Christi, similitudinem habentem corporeæ ipsius formæ, nec ullo modo imparem picturis quæ coloribus illustrantur. Secundo autem, quæ sine semine peperit ipsum Mariæ, in Lydda, quæ vocatur Diopolis,

(a) E codice 1630, p. 124, 1.

(b) Petatur plenior de Abgaro et ad eum missa Christi imagine narratio ex Eusebio H. E. I, 13; Evagrio IV, 27; Constantini Porphyrog. libro peculiari *De imagine Edessena;* Joannis Damasc., quæ fertur, Epistola ad Theophanem, etc.

(c) Cod. λύδη et sic infra. — De imagine Mariæ Lyddensi conf. narrationem Joannis Damasceni, epistola modo laudata, pag. 115.

spolis, non manufactam imaginem, in tabula lapidea nitidissima corpus humanum Dei Genitricis tribus altum cubitis effingentem, a temporibus apostolorum et usque nunc veneratam in erecto ab ipsis testudinato templo ad occidentem, ita eleganter efformatam quam per manus pictoris, et purpuram inquam et vestimentum, manus et vultum et totam similitudinem faciei, sicut et usque nunc hæc videri possunt servata. Dicunt enim Julianum, apostatam istum et adversarium Christi, cum audivisset de imagine ista, comprobasse quæ de ea loquuntur, pictoribus Hebraicis convocatis, et, cum veritatem cognovisset, mitatus est super illam, nihil autem amplius fecit.

Dicunt equidem templum istud, in carne adhuc vivente Dei genitrice, ædificatum fuisse; ascendentes autem apostolos in Sion (ibi enim habitabat), dixisse ad illam : Ubi eras, Domina? Ædificavimus namque tibi domum in Lydda. Quæ respondens dixit illis : Et ego ibi vobiscum eram et nunc sum. Et statim post hunc sermonem, cum descendissent ipsi in Lyddam obierunt templum, et ita invenerunt, ut ipsa firmiter dixerat, integram eam impressam secundum propriam similitudinem, sicut antiquus a prioribus sæculis usque nunc apud indigenas firmatus est sermo.

Tertium testimonium. Lucam apostolum et evangelistam omnes illius temporis dixerunt propriis pinxisse manibus et ipsum incarnatum Christum, et ipsius intemeratam Matrem, et illorum imagines in urbe Roma servari in convenienti gloria, et in Jerusalem quoque diligenti cura expositas ipsas dicunt. Sed et Judæus Josephus in hunc modum narrat visum fuisse Dominum, junctis superciliis, pulchris oculis, longa facie, deflexa, alta statura sicut evidenter, dum conversaretur cum hominibus, videbatur; similiter et Deiparæ imaginem sicut nunc videtur et quam Romanam dicunt quidam.

A [-]λει, ἀχειρόγραφον εἰκόνα, ἐν πλαξὶ πάνυ καθαραῖς τὸ σκῆνος τῆς Θεοτόκου τρίπηχυ παραδηλοῦσαν, ἀπὸ τῶν χρόνων τῶν Ἀποστόλων καὶ μέχρι τοῦ νῦν προσκυνουμένην ἐν τῷ παρ' αὐτῶν κτισθέντι εἰλητῷ (*d*) ναῷ πρὸς δυσμὰς, οὕτω κυρίως ἐγγεγραμμένην ὡς ἀπὸ χειρὸς ζωγράφου, τήν τε πορφύραν φημὶ καὶ τὸν στολισμὸν, τὰς χεῖρας καὶ τὸ πρόσωπον καὶ πᾶσαν τὴν γραφὴν τῆς ὄψεως, ὡς μέχρι καὶ νῦν ὁρᾶσθαι ταῦτα σωζόμενα. Λέγουσι γὰρ Ἰουλιανὸν, τὸν παραβάτην ἐκεῖνον καὶ μισόχριστον, μαθόντα τὰ περὶ τῆς εἰκόνος ταύτης, δοκιμάσαι τὰ κατ' αὐτὴν, ζωγράφους Ἑβραίους ἐκπέμψαντα, καὶ, πιστωθέντα τὸ ἀληθὲς, θαυμάσαι μὲν ἐπὶ τούτῳ, μηδὲν δὲ ὅλως τι διαπράξασθαι (*e*).

Φασὶ τοίνυν τὸν ναὸν τοῦτον, ἐν σαρκὶ ἔτι περι-
B οὔσης τῆς Θεοτόκου, κτισθῆναι· ἀνελθόντας δὲ τοὺς ἀποστόλους ἐπὶ τὴν Σιὼν (ἐν ταύτῃ γὰρ ᾤκει), διαλεχθῆναι πρὸς αὐτήν· « Ποῦ ἦσθα, Κυρία; Ἐδειμάμεθα γάρ σοι (*f*) οἶκον ἐν Λύδδῃ· » τὴν δὲ ἀποκριθεῖσαν εἰπεῖν πρὸς αὐτούς· « Κἀγὼ ἐκεῖσε μεθ' ὑμῶν ἤμην καὶ νῦν εἰμί· » καὶ ἅμα τῷ λόγῳ καταβάντας αὐτοὺς εἰς Λύδδην περινοστῆσαι τὸν ναὸν, καὶ εὑρεῖν οὕτως, ὡς αὐτὴ κυρίως εἶπεν, ὅλην αὐτὴν ἐντετυπωμένην κατὰ τὴν αὐτῆς ἰδέαν, ὡς ἀρχαῖος ἄνωθεν καὶ ἄχρι τῆς δεῦρο παρὰ τοῖς ἐγχωρίοις κεκράτηκε λόγος.

Τρίτον ὑπόδειγμα. Λουκᾶν τὸν ἀπόστολον καὶ εὐαγγελιστὴν ἅπαντες οἱ τότε εἰρήκασιν οἰκείαις
C ζωγραφῆσαι χερσὶν αὐτόν τε τὸν σαρκωθέντα Χριστὸν, καὶ τὴν αὐτοῦ ἄχραντον Μητέρα, καὶ τούτων τὰς εἰκόνας ἔχειν τὴν Ῥώμην εἰς οἰκείαν εὔκλειαν (*g*). Καὶ ἐν Ἱεροσολύμοις δὲ ἐπ' ἀκριβείας κεῖσθαι ταύτας φασίν. Ἀλλὰ καὶ ὁ Ἰουδαῖος Ἰώσηπος (*h*) τὸν αὐτὸν τρόπον ἱστορεῖ ὁραθῆναι τὸν Κύριον, σύνοφρυν, εὐόφθαλμον, μακροπρόσωπον, ἐπίκυφον, εὐήλικα, ὁποῖος δηλονότι συναναστρεφόμενος τοῖς ἀνθρώποις ἐφαίνετο, ὁμοίως καὶ τὸν τῆς Θεοτόκου σχηματισμὸν καθ' ὃν νῦν ὁρᾶται, ἣν καὶ Ῥωμαίαν ἀποκαλοῦσί τινες.

(*d*) Codex sic, quod non prorsus intelligo. Joannes Damasc. ibid. : Πέτρος καὶ Ἰωάννης, ἐν Λύδδῃ τῇ καλουμένῃ Διοσπόλει, πρὸ μιλίων δεκαοκτὼ τῆς Ἱερουσαλὴμ, τὰς διατριβὰς ποιούμενοι, εὐκτήριον οἶκον ἐπ' ὀνόματι τῆς Μητρὸς τοῦ Κυρίου καὶ Θεομήτορος οἰκοδομήσαντες...

(*e*) Locus est ea de re in Joannis Damasc. epist. pag. 115, edit. Combefisianæ qua utor, non parum vitiatus, quem nunc non attingam.

(*f*) Codex, ἐδημάμεθά σε.

(*g*) Virginis a Luca imaginem fuisse penicillo depictam tradit Joannes Damasc. ibid. p. 114. Quam Mariæ matris una cum puero Jesu effigiem a Luca
D coloribus expressam Romæ exhiberi didici e Vavassoris libro *De forma Christi*, p. 1?8; qui quidem de ea an genuina sit dubitare videtur, quod in illo, ut Patre Jesuita, admiror multum et laudo.

(*h*) Non Josephum laudat, sed τοὺς παλαιοὺς ἱστορικοὺς, Joannes Damasc. d. l., ubi plurima [gra]phica epitheta cumulantur. Cæterum, si quis volet in hoc argumento plus nimio operæ ponere, sibi quærat Cypriani Programma, et Th. Lewisii anglice scriptum libellum, de quo vid. *Biblioth. Britann.* t. VII, p. 195; in primis Jo. Reiskii *Exercitationes*, de quibus retulit Baylius in *Norellis reip. litter.* a. 1685.

SANCTI ANDREÆ HIEROSOLYMITANI

METHODUS INVESTIGANDI CYCLI SOLARIS ET LUNARIS, NECNON PASCHALIS.

(*Extat in appendice ad Eusebii* Chronicon, *hujus* Patrologiæ *t. XIX, col.* 1329.)

ΤΟΥ ΑΓΙΟΥ ΑΝΔΡΕΟΥ ΚΡΗΤΗΣ

ΤΟΥ ΙΕΡΟΣΟΛΥΜΙΤΟΥ

ΚΑΝΟΝΕΣ ΕΞΑΙΡΕΤΟΙ ΚΑΙ ΤΡΙΩΔΙΑ.

—

SANCTI ANDREÆ CRETENSIS

COGNOMENTO HIEROSOLYMITANI

CANONES PRÆCIPUI ET TRIODIA (18).

(Combef. p. 452.)

—

ΕΜΒΡΙΟΥ Θ'. Η ΣΥΛΛΗΨΙΣ ΤΗΣ ΑΓΙΑΣ ΚΑΙ ΘΕΟΠΡΟΜΗΤΟΡΟΣ ΑΝΝΗΣ.

Ο κανὼν, ποίημα τοῦ κυροῦ Ἀνδρέου.
Ὠδὴ α'. Ἦχος α'. Ὠδὴν ἐπινίκιον.

ν σύλληψιν σήμερον, θεόφρον Ἄννα, τὴν σὴν ιζομεν, ὅτι τὴν χωρήσασαν τὸν μηδαμοῦ χωρη- ιυνέλαβες, στειρωτικῶν ἀπολυθεῖσα δεσμῶν.

DIE NONA DECEMBRIS. CONCEPTIO SANCTÆ AC DEI AVIÆ ANNÆ (19).

Canon editus a D. Andrea.
Ode 1, ton. 1, Victoriæ canticum.

A Tuam hodie, religiosa Anna, celebramus Conceptionem; quod absoluta sterilitatis vinculis eam utero conceperis, quæ eum potuit capere, qui nusquam capi potest.

COMBEFISII NOTÆ.

) Ubique Andreas Mariæ studiosissimus, memoriam et orationibus exornat, et eccle- cis canticis; in quibus componendis, inter os censendum, facile perspexerit, qui atten- egerit, quos ejus ex variis Græcorum libris siasticis eruimus, Canones, Triodia, ac Tro- ; quanquam non potest non eis deperire is decor, amissa syllabarum mensura ac nu- , nonnulloque poeseos ecclesiasticæ velut mo, in quo servando, et multum operæ t, et fructus modicus.

) *Conceptio sanctæ Annæ.* Sic passim Græci in s divinis, accipiendo τὸ, σύλληψις, active, nostri fere accipiunt passive, ut celebrent e primam editionem, plane mirabilem illam, de sterili, ac oraculo, ejusque quæ Christum editura; ceu grande beneficium, ut plane est le, collatum cœlitus Annæ, totique adeo hu- generi, velut in ea ejus prole, consecratis s redemptionis primordiis. Ut nihil sibi aliud o festo celebrandum assumpserit Ecclesia a; ac nec Latina hactenus celebrandum præ- t, quandiu severissime in eos animadvertit, IV, Pii V, aliorumque pontificum constitu- bus, qui alterutrum Patrem erroris insimu- Quam utinam Patrum modestiam imitati plures, sobrie magis sapuissent; nec diras illas pontificias, seu magis scandala, quibus tollendis, diris ejusmodi opus fuit, provocassent! Malim certe cum pia Matre interim ignorare, seu in ejus corde occultam privilegii illius doctrinam, vel affirmantem vel negantem, humili devotione suspicere, quam audacius aliquid, temere arrogatis alienis partibus, definire. Est hoc festum longe Græcis antiquius quam Latinis, siquidem eo jam olim celebri, præsentem Canonem edidit Andreas ille Hierosolymita Cretensis archiepiscopus longe Anselmo antiquior, in cujus tempora referunt festi illius in Occidente exordia: ut et Bernardus, qui ipse nonnihil Anselmo junior fuit, seu in re nova, ac necdum Ecclesiarum matre Romana Ecclesia probante, a Lugdunensibus præsumpta, graviter offenderit: nihil molestius laturus, si quidem legitima auctoritate et sufficienti cautione factum fuisset arbitratus. Afferrent multam lucem, quas habemus in festum hoc, studiosissimi Mariæ, Georgii Nicomediensis luculentissimas tres orationes, cum alia εἰς τὰ εἰσόδια, et solemnem illam ejusdem in templum ceu triumpho inductionem, quam nostri dicunt Præsentationem, nisi tandem esset redimenda fides, obstricta Maximo, nonnulla in eum posita subsidiaria opera, dum interim alii,

Exaudisti justorum preces; tuorum, Domine, progenitorum implesti supplicationes; eamque, quæ te casta genuit, eis dedisti fructum.

A Δικαίων ἐπήκουσας τῆς ἱκεσίας, ἁγίων ἐπλήρωσας τὰς ἐντεύξεις, Κύριε, τῶν προπατόρων σου, καὶ τούτοις δέδωκας καρπὸν, τὴν σε τεκοῦσαν ἁγνήν.

Eam hodie Anna gloriosa concipit; quæ ipsa incorporeum optimum Dominum, postmodum concepit; ac carne parituram Christum, paritura est.

Ἡ Ἄννα ἡ ἔνδοξος, νῦν συλλαμβάνει ἁγνὴν, τὴν τὸν ἄσαρκον συλλαβοῦσαν Κύριον τὸν ὑπεράγαθον. Καὶ τίκτειν μέλλει, τὴν σαρκὶ μέλλουσαν τίκτειν Χριστόν.

In Deiparam.

Tu casta Virgo, mons ille sanctus es, quem in spiritu propheta prævidit[h]; ex quo lapis ille præcisus est, qui divino robore idolorum aras contrivit.

Θεοτόκ.

Τὸ ὄρος τὸ ἅγιον, ὅπερ προεῖδε προφήτης ἐν πνεύματι· ἐξ οὗ λίθος τέτμηται, τοὺς τῶν εἰδώλων βωμοὺς συντρίψας σθένει θεϊκῷ, σὺ εἶ, Παρθένε ἁγνή.

Ode 3. Confirmetur cor meum.

Dum mihi uteri fructum præbueris, clamavit Anna ad Dominum, magnificabor ipsa, tibique illum munus offeram: quamo rem castam, illam Dei Matrem concipit.

Ὠδὴ γ'. Στερεωθήτω ἡ καρδία μου.

B Καρπὸν κοιλίας εἰ παράσχοις μοι, ἀνεβόα Ἄννα πρὸς Κύριον, μεγαλυνθήσομαι· καὶ σοὶ τοῦτον προσαναθήσομαι. Διὰ τοῦτο συλλαμβάνει τὴν ἁγνὴν Θεοῦ μήτορα.

Precante te, pia Anna, in horto, vocem audit Altissimus, ventrisque fructum, eam tribuit, quæ horti gratiæ portam aperuit.

Ἐν παραδείσῳ εὐχομένης σου, τῆς φωνῆς ἀκούει ὁ Ὕψιστος, Ἄννα θεόφρον, καὶ καρπὸν τῆς κοιλίας σου δίδωσι, παραδείσου τὴν ἀνοίξασαν τὴν θύραν τῆς χάριτος.

Legalibus consummatis, pudicissima Anna, atque ubi Deo sine crimine servisses, eam utero gestas, quæ verum utero Legislatorem gestavit; eoque fideles beatam te dicimus.

Τὸ κατὰ νόμον ἐκτελέσασα, καὶ Θεῷ ἀμέμπτως δουλεύσασα, κυοφορεῖς τὴν ἀληθῆ Νομοδότην κυήσασαν, Ἄννα πάνσεμνε. Διό σε οἱ πιστοὶ μακαρίζομεν.

In Deiparam.

Tu, sanctissima Deipara, adjutrix fidelium, omnem ab sterili mente mea depelle infecunditatem, ac animam redde virtutibus feracem.

Θεοτόκ.

Τῆς στειρευούσης διανοίας μου, ἀκαρπίαν πᾶσαν ἀπέλασον, καὶ καρποφόρον ἀρεταῖς τὴν ψυχήν μου ἀνάδειξον, παναγία Θεοτόκε, τῶν πιστῶν ἡ βοήθεια.

C

Sess. ton. 4. Chorus angelicus.

Chorus olim propheticus eam prædicavit, quam Anna sterilis infecundaque intemeratam, castaque ac divina progenie (20) puellam, concepit. Hanc hodie, ceu solam immaculatissimam, omnes nos per eam salutem consecuti, cordis exsultatione beatam dicamus.

Καθ. ἦχος δ'. Χορὸς ἀγγελικός.

Χορὸς προφητικὸς προεκήρυξε πάλαι τὴν ἄμωμον, ἁγνὴν, καὶ θεόπαιδα κόρην, ἣν Ἄννα συνέλαβε, στεῖρα οὖσα καὶ ἄγονος· ταύτην σήμερον ἀγαλλιάσει καρδίας μακαρίσωμεν, οἱ δι' αὐτῆς σεσωσμένοι, ὡς μόνον πανάμωμον.

Alia. ton. 4. Qui in cruce fuit elevatus.

Sacer Joachim, Annaque, legalibus sacerdotibus dona obtulerunt (21); repulsique ut infecundi ac

Ἕτερον. Ἦχος δ'. Ὁ ὑψωθεὶς ἐν τῷ σταυρῷ.

Ἰωακεὶμ ὁ ἱερὸς καὶ ἡ Ἄννα, δῶρα προσήγαγον τοῖς πρὶν ἱερεῦσι, καὶ μὴ δεχθέντες, ἄγονοι τυγχ

[h] Dan. II, 35.

COMBEFISII NOTÆ.

et cui creditam voluit reverendissimus noster Galliæ clerus, permitto rei summam. Non licuit hactenus scire epocham illius Georgii: quanquam ex stylo ita videtur medii ævi, ut non longe distet ab Andrea, aut saltem Damasceno, cum quibus nec ipse defuit, ornando canticis, iisque elegantibus, præsertim in Mariam, ritu divino.

(20) *Divina progenie, puellam.* Θεόπαιδα κόρην. Vox Græcis medii ævi, Andreæ nostro, Damasc., etc., familiaris: etiam ex Nonno refertur. Congruit vero in Mariam, miraculosa conceptione editam, ac velut Deo peculiarissime natam: quanquam processit vere ex lumbis Joachim, Deo naturam præter naturæ modum viribus ad prolis editionem augente, non principium aliquod proxime, velut in humana Christi generatione supplente. I, Damasc. in Mariæ Nativit. ubi edita, Παγκοσμίου εὐφροσύνης γενέθλιον. *Orbis universi lætitiæ natalem;* Regius cod. perantiquus, παγκοσμίου θεόπαιδος γενέθλιον, ut sic absolute Maria, dicta sit θεόπαις:

D sed παγκόσμιος, tota pulchra, ornatissimaque gratiis omnibus, a primo illo suo ortu, velut mons sanctis omnibus montibus fundamento eminens aucta. Prima lectio non mala, altera hæc augustior.

(21) *Dona obtulerunt.* Prosequitur pluribus ex historia Ἰακώβου ἀδελφοθέου nomine, cujus plura exstant exemplaria in Bibl. Regia, Georgius Nicom. ea Mariæ progenitorum munera, plane illa magnifica, et quæ primus offerret Joachim, velut suis contribulibus sanctitatis gloria præstans, ac privilegio, quod invidiæ fomes fuit, et occasio repulsæ. Sic notat Georgius habere quosdam codices: *Non licet ut primus offerret, qui non fecisset semen in Israel;* quod in Regiis invenimus. Est liber ille rejectus a Gelasio inter apocryphos; sed nihil vetat ut ne probata multa contineat; coque sit usus præter Georgium etiam Andreas, ut orat. in Circumcisionem dicitur, aliique passim Græci scriptores.

νοντες, δέησιν προσηύξαντο τῷ Δοτῆρι τῶν ὅλων· καὶ τῆς προσευχῆς αὐτῶν ἐπακούσας, δωρεῖται τούτοις τὴν ὄντως πύλην τῆς ζωῆς, ἧς τὴν ἁγίαν τιμήσωμεν Σύλληψιν.

Ὠδὴ δ'. Ἐν πνεύματι προβλέπων.

Ὦ θείας ἀγγελίας! ὦ ξένης λαλιᾶς! εἰ κἀγὼ συλλήψομαι, ἀγγέλου πρὸς αὐτὴν ἀποσταλέντος, ἡ Ἄννα ἐκπληττομένη μεγαλοφώνως ἀνεβόα· Τῷ Θεῷ μου δόξα, τῷ ποιοῦντι παράδοξα.

Συγχάρητέ μοι, πᾶσαι φυλαὶ τοῦ Ἰσραήλ· ἐν γαστρὶ συνέλαβον τὸν νέον οὐρανὸν, ἐξ οὗ τὸ ἄστρον ἀνατελεῖ μετ' ὀλίγον τῆς σωτηρίας, Ἰησοῦς ὁ φωτοδότης· Ἄννα γηθομένη ἐκραύγαζεν.

Ὑπήκουσε τῆς Ἄννης Θεὸς τοὺς στεναγμοὺς, καὶ προσέσχε Κύριος δεήσεως αὐτῆς, καὶ ἀτεκνίας τὸ νέφος διασκεδάσας, φωτὶ αὐγάζει εὐτεκνίας παραδόξως· ὅθεν συλλαμβάνει τὴν μόνην ἁγνήν.

Θεοτόκ.

Παρθένε Θεοτόκε, ἀμόλυντε σκηνὴ, μολυνθέντα πταίσμασι καθάρισόν με νῦν, τῶν οἰκτιρμῶν σου καθαρωτάτοις ῥανίσι, καὶ δός μοι χεῖρα βοηθείας, ἵνα κράζω· Δόξα σοι, ἁγνὴ, θεοδόξαστε.

Ὠδὴ ε'. Τὴν σὴν εἰρήνην.

Ἐκ ῥίζης ἡ βλαστήσασα Δαβὶδ καὶ Ἰεσσαὶ, Ἄννα νῦν βλαστάνειν ἀπάρχεται τὴν θείαν ῥάβδον, τὴν βλαστήσασαν τὸ μυστικὸν ἄνθος, Χριστὸν τὸν πάντων κτίστην.

Μητέρα γενομένην με, ἡ Ἄννα ἐκβοᾷ, ὄψονται λαοὶ, καὶ θαυμάσουσιν· ἰδοὺ γὰρ κυῶ, ὡς ηὐδόκησεν ὁ τὰ δεσμὰ λύσας τὰ τῆς στειρώσεώς μου.

A steriles, universorum largitorem oratione pulsarunt: ipseque, exauditis precibus, vere vitæ portam illis largitur. Ejus nos Conceptionem honore prosequamur.

Ode 4. In spiritu prævidens.

O divinum nuntium! O novam sermocinationem! alta succlamavit voce stupens Anna, angelo ad eam misso: Siquidem ego conceptura sum, gloria Deo meo, qui facit mirabilia.

Congratulamini mihi, omnes tribus Israel, exclamavit gaudio Anna; quippe novum cœlum utero concepi, ex quo brevi salutis stella, Jesus nimirum dator ille luminis, oritura sit.

Exaudivit Deus Annæ gemitus; Dominusque ejus intendens orationi, ac orbitatis disjecta nu-
B be, beatæ prolis luce mirabiliter illustrat: unde castam illam singulariter concipit.

In Deiparam.

Virgo Deipara, impollutum tabernaculum: nunc me, mundissimis tuarum miserationum stillis emunda, peccatis pollutum: manumque porrige adjutricem, ut clamem: Tibi gloria, o casta, a Deo glorificata.

Ode 5. Tuam pacem.

Quæ ex Davidis ac Jesse radice Anna germinavit (22), nunc primum divinam illam virgam germinat, quæ mysticum germinavit florem; Christum, inquam, conditorem omnium.

Videbunt me populi, exclamat Anna, factam
C matrem, ac mirabuntur: ecce enim sum prægnans, ut is voluit, qui sterilitatis me vinculis absolvit.

COMBEFISII NOTÆ.

(22) ***Quæ ex Davidis ac Jesse radice, Anna germinavit.*** Sic etiam auctor *Synaxarii*, natali die sanctæ Mariæ, ubi Annam ponit filiam Matthan, qui fuit ipse pater Jacob, patris Joseph. Forte cui verius videri possit, ut Anna fuerit ex patre sacerdote, quod Nicephorus ex Hippol. tradit, et sequuntur Bar. Torn. etc., retulimusque ad Methodium ex vetusto Regio codice: sata tantum per masculos, proxime saltem, Mariæ ac Jesu carne, ex Davide, ipsumque Josephum proximius attingente, cognatione, nimirum diviso stipite in Melchi, et Panthere fratribus, ut ipse Andreas habet orat. in Circumc., et post eum Damasc. IV *De fide*. Remote autem et per feminas, nihil vetat ut ne ipsa Anna germinaverit ex Davide, quod forte tantum voluit Andreas ut et Damasc. cum orat. 2 in Nativitatem Mariæ, ita in Annam habet, Ὡς μακάριος ὁ οἶκος Δαβὶδ ἐξ οὗ προελήλυθας! *Quam beata domus David ex qua prodiisti!* Et hoc in opinione Nicephori, quem nullo examine sequitur Torniel., etc. Forte autem nactus est præfatus *Synaxarii* auctor saniorem codicem quam Nicephorus, ut habuerit θυγατέρες Μάτθαν τοῦ Σαλομῶντος, pro eo quod Nicephorus habet, τοῦ ἱερέως. Videtur enim et ipse Hippolytum referre, seu potius dare ἀνώνυμον historiam, quam vulgat Nicephorus Hippolyti nomine. Favetque ipse patriæ locus, quo dicuntur ἀπὸ Βηθλεέμ· quæ erat ipsum castellum David, e quo habuit postmodum sub Augusto Maria cum Joseph proficisci a Nazareth, ut illic tanquam in propria urbe, qui essent ex Davide, profiterentur. Quanquam enim ratio non convincit, ut erant aliis aliisque civitatibus commisti Levitæ, nonnulla tamen in re utrinque testibus fulta, suasio est. Quod autem spectat ad Elisabetham Præcursoris matrem, quam Lucas ait de filiabus Aaron, res est facilis, ut mater ejus Σόβη, ut est apud Niceph. vel Σέβη, ut in *Synaxario*, Annæ soror et senioris Mariæ, sacerdoti nupserit, ipsa ex tribu Juda, ut erant eæ tribus commistæ, exque eo conjugio susceperit Elisabetham, ex matre tantum cognatam Mariæ: quæ et ipsa, in tanta generationum serie, potuerit Leviticum genus ex feminis contingere; quo ita fiat satis Patribus, contendentibus ex utroque genere Christi carnem, regio et sacerdotali propagatam esse. Affert Tornielius, ceu ex Baronio in *Apparatu*, sanctum Germanum consentientem Hippolyto, qualem habet Nicephorus, quod spectat ad Annam, ut fuerit ex patre sacerdote. Verba illius sunt: Γένους μὲν πέφυκα ἱερατικοῦ, φυλῆς Ἀαρωνίτιδος ῥίζης προφητικῆς· τοῦ γὰρ Δαβὶδ καὶ Σολομῶντος καὶ τῶν καθεξῆς ὅρπηξ καθέστηκα· συγγενὴς δὲ καὶ τῆς σῆς γαμετῆς Ἐλισάβετ. Sed illa parum probant; potiusque indicaverint, velut ad gratiam locutam Annam, contribulem se sacerdoti, eique junctam affinitate, in nepte Elisabetha, profe sam esse, quam genus regale, ex patre etiam a se repulisset. Dicendo enim se ramum a Davide et Salomone, aliisque deinceps, eoque esse tribus Aaroniticæ, nihil fuerit quam recta successione descendisse a Davide et Salomone, quorum familiæ inserta esset tribus et familia Aaronitica, utrinque libere celebratis conjugiis. Sic certe augustius fuerit ex utroque parente genus proximum Mariæ, et Josepho propinquius.

Puellam quam concepi, clamabat gaudio Anna A coram positis, voces olim propheticæ, montem [i], portamque [j], qua non sit transitus, prænuntiavere.

In Deipar.

Nubem te [k], hortumque [l], et lucis portam [m]; mensam [n] ac vellus [o] cognoscimus, o Dei casta Mater; urnamque [p], manna intus mundo dulcedinem, ferentem.

Ode 6. Ionam prophetam.

Quomodo utero capitur, quæ Deum potuit capere? Quomodo gignitur, quæ genuit Christum carne? Qui vero sugit ubera, quæ ipsa auctori lac uberibus sugendum præbuit?

Vestris hodie, clarissimi Joachim et Anna, exauditis precibus, nunc vobis Deus fecundissimum B fructum benigne tribuit.

Ubi castam utero columbam Anna concepisset, spiritali impleta gaudio, vere grato pectore, Deo cantica offert.

In Deipar.

Cath. Domini Joseph. Ton. 1 obliq.

(Postea nos prosternentes, triodium (34) alternis dicimus, et oden 4.)

Od. 4 ton. 4, obl. Audivi, Domine.

Qui vitam in abstinentia illuminati Christi apostoli duxerint, nunc nobis, suis ad Deum intercessionibus, abstinentiæ tempus leve faciunt.

Organum illud duodecim chordarum, a Deo afflatus apostolorum chorus; salubre intonuit melos, confundens malas cantilenas.

Imbribus Spiritus totam abunde terram irrigastis, squalore plurium deorum fugato, o beatissimi.

Ad Deipar.

Salvum me fac, humilem faciens qui superbe vixerim, illius tu parens, puella castissima, qui humiliatam naturam sublimem evexit.

Alius hirmus. Tonus idem.

« Audivi, Domine, vocem tuam, et timui: consideravi opera tua [m], » et laudavi potentiam tuam, o Domine.

Perquam venerabilis apostolorum chorus, universorum Creatorem exorans, nos te laudibus prosequentes, solare.

Vos apostoli, ut Christi operarii, mundum totum divino excolentes sermone, ubique ei fructus obtulistis.

« Christo vere dilecto, facti estis vinea [n]. » Quippe vinum Spiritus, o apostoli, effudistis mundo.

Gloria.

Tu major principatu principioque, pari forma, potentissima Trinitas sancta; Pater, Verbum, Spiritus sancte; Deus, Lumen, et Vita, custodi tuum ovile.

[m] Habac. III, 2. [n] Isa. V, 1.

COMBEFISII NOTÆ.

(34) *Triodium.* Sunt triodia ternæ odæ, loco Canonis integri, qui novem totis aut saltem octo, desiderata fere 2 constat: cujus rei sacramentum explicuerit aliquando Euchologii interpres.

Ad Deipar.

Avesis, throne ignite; avesis, candelabrum lampadibus splendens; ave, mons sancte, arca vitæ; sanctorum sanctum tabernaculum, ave.

Hirmus alius.

Audivit propheta adventum tuum, Domine, et timuit: quod esses nasciturus ex Virgine et mundo exhibendus, dixitque: « Audivi auditum tuum, et timui [o]. » Sit Gloria, Domine, tuæ potentiæ.

Ne despexeris tua opera; ne tuum figmentum, juste Judex, neglexeris. Quanquam peccavi solus, tu, o clemens, qua homo supra hominem omnem, potestatem tamen dimittendi peccata, qua es Dominus universorum, habes.

Prope est finis, o anima; prope est; nec es sollicita? Non te præparas? Tempus urget; exsurge: « Prope est Judex in januis [p]; » velut somnium, velut flos, vitæ tempus decurrit [q]. Utquid vero frustra conturbamur?

Resipisce, o anima mea; actus quos es operata recogita, eosque ob oculos statue, atque ab oculis lacrymarum stillas funde. Dic palam Christo actiones tuas et cogitationes, et justificare.

Non fuerit in vita peccatum, actiove, aut malitia quam ego, Salvator, intellectu et cogitatione atque proposito non peccaverim; affectu, mentis judicio, et actione, ut nemo unquam gravius peccaverit.

Inde etiam damnationis incurri reatum; inde miser ego, conscientia propria judice, qua nihil mundus violentius habet, causa cecidi; tu, Judex et Redemptor cognitorque meus, parce et libera, salvumque fac servum tuum.

Scala quam olim magnus patriarcha vidit [r], scansionem, o anima, refert actionis, contemplationisque ascensum. Si vis ergo actione, scientiaque et contemplatione vivere, renovare.

Æstum diei patriarcha sustinuit egenus, noctisque pertulit gelu, furta quotidie sustinens (35), pascendo, pugnando, serviendo, ut sibi duas uxores matrimonio jungeret [s].

Tu mihi uxores duas, actionem et contemplationem cogita: Liam quidem actionem, velut multa fecundam prole; Rachel autem, contemplationem, ut laboribus multis attritam. Nec enim, o anima, absque laboribus, vel actionem vel contemplationem geri recte contigerit.

Vigil esto, o anima mea; age strenue ut magnus patriarcha, quo actionem contemplationi junctam compares, vocerisque mens videns

A *Θεοτόκ.*

Χαῖρε, θρόνε πυρίμορφε· χαῖρε, λυχνία λαμπ-φόρε· χαῖρε, ὄρος ἁγιάσματος· κιβωτὲ τῆς ζω-ἁγίων ἁγία σκηνή.

Εἱρμὸς ἄλλος.

Ἀκήκοεν ὁ προφήτης τὴν ἔλευσίν σου, Κύ-καὶ ἐφοβήθη, ὅτι μέλλεις ἐκ Παρθένου τίκτεσθαι, ἀνθρώποις δείκνυσθαι· καὶ ἔλεγεν· « Ἀκήκοα ἀκοήν σου, καὶ ἐφοβήθην. » Δόξα τῇ δυνάμει σ-Κύριε.

Τὰ ἔργα σου μὴ παρίδῃς· τὸ πλάσμα σου παρόψῃ, Δικαιοκρίτα· εἰ καὶ μόνος ἥμαρτον ὡς-θρωπος, ὑπὲρ πάντα ἄνθρωπον φιλάνθρωπε· ἀ-ἔχεις ὡς Κύριος πάντων, τὴν ἐξουσίαν ἀφιέ-ἁμαρτήματα.

B Ἐγγίζει, ψυχή, τὸ τέλος· ἐγγίζει, καὶ οὐ φρον-ζεις; Οὐχ ἑτοιμάζῃ; Ὁ καιρὸς συντέμνει, διαν-στηθι· « Ἐγγὺς ἐπὶ θύραις ὁ Κριτής ἐστιν· » ὄναρ, ὡς ἄνθος, ὁ χρόνος τοῦ βίου τρέχει. Τί μάτ-ταραττόμεθα;

Ἀνάνηψον, ὦ ψυχή μου· τὰς πράξεις σου ἃς εἰ-γάσω ἀναλογίζου, καὶ ταύτας ἐπ' ὄψεσι προσάγαγ-καὶ σταγόνας στάλαξον δακρύων σου. Εἰπὲ παῤῥη-σίᾳ τὰς πράξεις, τὰς ἐνθυμήσεις, Χριστῷ, καὶ δι-καιώθητι.

Οὐ γέγονεν ἐν τῷ βίῳ ἁμάρτημα, οὐδὲ πρᾶξ-οὐδὲ κακία, ἣν ἐγώ, Σῶτερ, οὐκ ἐπλημμέλησα, κα-νοῦν, καὶ γνῶσιν, καὶ προαίρεσιν· καὶ θέσει, κ-γνώμῃ, καὶ πράξει ἐξαμαρτήσας, ὡς ἄλλος οὐδ-C πώποτε.

Ἐντεῦθεν καὶ κατεκρίθην· ἐντεῦθεν κατεδικάσθ-ἐγὼ ὁ τάλας ὑπὸ τῆς οἰκείας συνειδήσεως, ἧς οὐδ-ἐν κόσμῳ βιαιότερον· Κριτά, Λυτρωτά μου καὶ γνω-στα, φεῖσαι καὶ ῥῦσαι, καὶ σῶσόν με τὸν δοῦλ-σου.

Ἡ κλίμαξ ἣν εἶδε πάλαι ὁ μέγας ἐν πατριάρχαι-δεῖγμα, ψυχή μου, πρακτικῆς ὑπάρχει ἐπιβάσεως-γνωστικῆς τυγχάνει ἀναβάσεως. Εἰ θέλεις οὖν πράξει, καὶ γνώσει, καὶ θεωρίᾳ βιοῦν, ἀνακαινί-σθητι.

Τὸν καύσωνα τῆς ἡμέρας, ὑπέμεινε δι' ἔνδειαν πατριάρχης· καὶ τὸν παγετὸν τῆς νυκτὸς ἤνεγκ-καθ' ἡμέραν κλέμματα ποιούμενος, ποιμαίνων πυκτεύων, δουλεύων, ἵνα τὰς δύο γυναῖκας εἰσαγά-D γηται.

Γυναῖκάς μοι δύο νόει τὴν πρᾶξίν τε καὶ τὴν γνῶ-σιν ἐν θεωρίᾳ· τὴν μὲν Λείαν, πρᾶξιν, ὡς πολύ-τεκνον· τὴν Ῥαχὴλ δέ, γνῶσιν ὡς πολύπονον. Καὶ γὰρ ἄνευ πόνων, οὐ πρᾶξις, οὐ θεωρία, ψυχή, κατορ-θωθήσεται.

Γρηγόρησον, ὦ ψυχή μου, ἀρίστευσον ὡς ὁ μέγας ἐν πατριάρχαις, ἵνα κτήσῃ πρᾶξιν μετὰ γνώσεως· ἵνα χρηματίσῃς νοῦς ὁρῶν τὸν Θεόν, καὶ φθάσῃς

[o] Habac. III, 2. [p] Matth. XXIV, 33. [q] Psal. XXXVIII, 7. [r] Gen. XXVIII, 12. [s] Gen. XXXI, 40.

COMBEFISII NOTÆ.

(35) *Furta quotidie sustinens.* Ποιούμενος κλέμματα καθημέραν· fraudante socero pacta mercede, qua de re expostulat ipse Gen. XXXI, 7.

τὸν ἄδυτον γνόφον ἐν θεωρίᾳ, καὶ γένῃ μεγαλέμπορος.

Τοὺς δώδεκα πατριάρχας ὁ μέγας ἐν πατριάρχαις παιδοποιήσας, μυστικῶς ἐστήριξέ σοι κλίμακα, πρακτικῆς, ψυχή μου, ἀναβάσεως, τοὺς παῖδας, ὡς βάθρα· τὰς βάσεις, ὡς ἀναβάσεις, πανσόφως ὑποθέμενος.

Ἠσαῦ τὸν μεμισημένον ζηλοῦσα ψυχή, ἀπέδου τῷ πτερνιστῇ σου, τὰ τοῦ πρώτου κάλλους πρωτοτόκια, καὶ τῆς πατρικῆς εὐχῆς ἐξέπεσας· καὶ δὶς ἐπτερνίσθης, ἀθλία, πράξει καὶ γνώσει. Διὸ νῦν μετανόησον.

Ἐδὼμ ὁ Ἠσαῦ ἐκλήθη, δι' ἄκραν θηλυμανίας [9] ἐπιμιξίαν· ἀκρασίᾳ γὰρ ἀεὶ πυρούμενος, καὶ ταῖς ἡδοναῖς κατασπιλούμενος, Ἐδὼμ ὠνομάσθη· ὃ λέγεται θερμασία ψυχῆς φιλαμαρτήμονος.

Ἰὼβ τὸν ἐπὶ κοπρίας ἀκούσασα, ὦ ψυχή μου δικαιωθέντα, τὴν αὐτοῦ ἀνδρείαν οὐκ ἐζήλωσας· τὸ στεῤῥὸν οὐκ ἔσχες τῆς προθέσεως, ἐν πᾶσιν, οἷς οἶδες, οἷς ἐπειράθης· ἀλλ' ὤφθης ἀκαρτέρητος.

Ὁ πρότερον ἐπὶ θρόνου, γυμνὸς νῦν ἐπὶ κοπρίας καθηλκωμένος· ὁ πολὺς ἐν τέκνοις καὶ περίβλεπτος, ἄπαις, ἀφαιρέοικος αἰφνίδιον. Παλάτιον γὰρ, τὴν κοπρίαν, καὶ μαργαρίτας, τὰ ἕλκη ἐλογίζετο.

Βασίλειον τὴν ἀξίαν, διάδημα καὶ πορφύραν ἀμφιέμενος, πολυκτήμων ἄνθρωπος καὶ δίκαιος· πλούτῳ ἐπιβρίθων καὶ βοσκήμασιν· ἐξαίφνης τὸν πλοῦτον, τὴν δόξαν, τὴν βασιλείαν, πτωχεύσας ἀπεκείρατο.

Εἰ δίκαιος ἦν ἐκεῖνος καὶ ἄμεμπτος παρὰ πάντας, καὶ οὐκ ἀπέδρα τὰ τοῦ πλάνου ἔνεδρα καὶ σκάμματα· σὺ φιλαμαρτήμων οὖσα, τάλαινα ψυχή, τί ποιήσεις, ἐάν τι τῶν ἀδοκήτων συμβῇ ἐπενεχθῆναί σοι;

Τὸ σῶμα κατεῤῥυπώθην· τὸ πνεῦμα κατεσπιλώθην· ὅλος ἡλκώθην. Ἀλλ', ὡς ἰατρὸς, Χριστὲ, ἀμφότερα διὰ μετανοίας μου θεράπευσον, ἀπόλουσον, κάθαρον, πλῦνον· δεῖξον χιόνος, Σῶτερ μου, καθαρώτερον.

Τὸ σῶμα καὶ τὸ αἷμα, σταυρούμενος ὑπὲρ πάντων ἔθηκας, Λόγε· τὸ μὲν σῶμα, ἵνα ἀναπλάσῃς με· τὸ δὲ αἷμα, ἵνα ἀποπλύνῃς με· τὸ πνεῦμα παρέδωκας, Λόγε, ἵνα ἐμὲ προσάξῃς, Χριστὲ, τῷ σῷ Γεννήτορι.

Εἰργάσω τὴν σωτηρίαν ἐν μέσῳ τῆς γῆς, ὁ Κτίστης [10], ἵνα σωθῶμεν· ἑκουσίως ξύλῳ ἀνεσταύρω-

Deum [t], atque ad inaccessam caliginem contemplatione pervenias, faciasque multam mercaturam.

Magnus ille patriarcha, duodena patriarcharum prole, practici tibi ascensus, o anima, ac positi in actione, scalam mystice erexit: filios, ut gradus, gressus ut ascensus, sapienter admodum ponens ac subjiciens.

Odio habitum Esau [u], o anima, æmulata, primi decoris vendidisti primitiva tuo supplantatori, paternamque benedictionem amisisti [v], ac bis misera, quod ad actionem et scientiam spectat, fuisti supplantata; quare modo age pœnitentiam.

Dictus est Esau, Edom [x], appetitu esculenti ad insaniam addicto (36); semper enim incontinentia æstuans, totusque voluptatibus pollutus, Edom nominatus est: quod dicitur fervor calorque animæ amantis peccatum.

O anima, quæ Job audieris in stercore justificatum [y], non es æmulata viri fortitudinem. Non habuisti firmum illud propositum in omnibus quæ nosti, quæ vidisti, et es experta; sed te, non ferentem malorum exhibuisti.

Qui prius in throno, jam nudus in stercore plenus ulceribus sedet; qui multis filiis auctus et conspicuus fuisset, prole caret, ac domo repente spoliatur. Stercus enim palatium ducebat, ac vulnera, margaritas.

Cum regiam dignitatem, diadema et purpuram indutus esset, vir multis auctus possessionibus et justus, divitiis onustus et pecudibus locuples, subito divitiis, gloria, regno, pauper effectus, privatus est.

Si vir ille quanquam justus ac præ omnibus liber a crimine, seductoris insidias et certamina non effugit, quid tu amans peccatorum, misera anima, cum quid minus exspectatum irruperit, facere debueris?

Corpus pollutum est, anima contaminata, totus scateo ulceribus; enimvero, ipse, Christe, pœnitentia mea, utrumque sana, ut medicus: ablue, munda, lava: ostende, Salvator meus, mundiorem supra nivem.

Tu, Verbum corpus et sanguinem pro universis posuisti in cruce: corpus quidem, ut me reformares; sanguinem, ut ablueres; spiritum tradidisti, ut me tuo, Christe, Genitori conciliares.

Operatus es salutem in medio terræ [z'], o Salvator, ut consequeremur salutem; volens cruci-

[t] Gen. XXXII, 28. [u] Malach. I, 3. [v] Gen. XXV, 32; XXVII, 36. [x] Gen. XXV, 30. [y] Job I, 22. [z'] Psal. LXXIII, 12.

VARIÆ LECTIONES.

[9] Leg. ὁλομανίας. [10] Ἀλλ. οἰκτίρμων.

COMBEFISII NOTÆ.

(36) *Appetitu esculenti ad insaniam*, etc. Sic plane legendum suadet historia Esau ὁλομανίας, nec enim Scriptura cum θηλυμανίας notat, sed ὁλομανίας, et ab ea nomen illud *Edom* contraxisse significat: velut a cibi et edulii gulosius desiderati qualitate et colore, quod esset rufum: sive ab ipsa lenticularum natura, quibus constabat, sive a peculiari condimento.

tuus es; aperta est Edem, superna, inferna, creata quæque; te omnes gentes quas salvas feceris, sunt adoraturæ.

Sit mihi piscina, tuo latere fusus sanguis; potusque pariter, quæ manavit aqua illa refectionis, ut utrinque emunder: qui ceu unguentum et potum, tua, Verbum, vivifica eloquia, bibendo, ungar.

Thalamo privatus sum: sum factus exsors nuptiarum et cœnæ. Lampas, velut sine oleo exstincta est; dormienti clausum est cubile, comesta cœna: ego autem ejectus sum, ligatus manus et pedes.

Tuum, Ecclesia, vivificum latus, craterem accipit, ex quo nobis latere, fons duplex remissionis et scientiæ manavit, in figuram Veteris et Novi, utriusque, inquam, o Salvator noster, Testamenti.

Tempus vitæ meæ exiguum est, laboribusque et molestia plenum: verum pœnitentem suscipe, et revoca agnoscentem. Ne fiam alieni possessio et esca: tu ipse, Salvator, mei miserere.

Jam grandiloquum ago, et corde temere audacem: ne me condemnes cum Pharisæo; imo Publicani, qui solus misericors sis, humilitatem concede: tu me, juste Judex, huic accense.

Peccavi, carnis vasculo injuriam faciens; novi, o misericors; verum me, pœnitentem suspice, et revoca agnoscentem. Ne alieno cedam possessio et esca: tu ipse Salvator, mei miserere.

Ipse mihi factus sum idolum, vitiis corrumpens animam. Verum pœnitentem suspice, et revoca agnoscentem; ne efficiar alieno in possessionem et escam, tu ipse Salvator, mei miserere.

Non audivi vocem tuam; fui inobediens tuæ Legislatoris Scripturæ. Verum pœnitentem suscipe, et revoca agnoscentem. Ne efficiar alieno in possessionem et escam; tu ipse, Salvator, mei miserere.

In sanctam.

Vitam agens in corpore velut incorpoream, maximam plane, o sancta, a Deo accepisti gratiam. Esto patrona eorum qui fideles te honorant: quamobrem supplicamus ut tuis precibus ab omni liberemur genere tentationum.

Cum in magnarum obscenitatum profundum præceps abiisses, non illic hæsisti: sed meliori assumpto proposito, ad supremam perspicue virtutem actione emersisti; ut angelicas naturas, o Maria, rei novitate stupefeceris.

In Andream.

Andrea Patrum decus, ne divinissimam Trinitatem interpellare tuis precibus obliviscaris; ut liberemur a pœna, qui te admirabilem

A σας· ἡ Ἐδὲμ κλεισθεῖσα, ἀνεῴγνυτο· τὰ ἄνω, τὰ κάτω· ἡ κτίσις· τὰ ἔθνη πάντα σωθέντα, προσκυνοῦσί σε.

Γενέσθω μοι κολυμβήθρα, τὸ αἷμα τὸ ἐκ πλευρᾶς σου· ἅμα καὶ πόμα, τὸ πηγάσαν ὕδωρ τῆς ἀφέσεως, ἵνα ἑκατέρωθεν καθαίρωμαι· χριόμενος πίνων, ὡς χρίσμα καὶ πόμα, Λόγε, τὰ ζωηρά σου λόγια.

Γυμνός εἰμι τοῦ νυμφῶνος· γυμνός εἰμι καὶ τοῦ γάμου ἅμα καὶ δείπνου. Ἡ λαμπὰς ἐσβέσθη ὡς ἀνέλαιος· ἡ παστὰς ἐκλείσθη μοι καθεύδοντι· τὸ δεῖπνον ἐβρώθη· ἐγὼ δὲ, χεῖρας καὶ πόδας δεθεὶς, ἔξω [11] ἀπέῤῥημαι.

Κρατῆρα, ἡ Ἐκκλησία, ἐκτήσατο τὴν πλευράν σου τὴν ζωηφόρον, ἐξ ἧς ὁ διπλοῦς ἡμῖν ἐξέβλυσε, κρου- B νὸς τῆς ἀφέσεως καὶ γνώσεως, εἰς τύπον τῆς Πάλαι, τῆς Νέας· τῶν δύο ἅμα Διαθηκῶν, Σῶτερ ἡμῶν.

Ὁ χρόνος ὁ τῆς ζωῆς μου ὀλίγος, καὶ πλήρης πόνων καὶ πονηρίας· ἀλλ' ἐν μετανοίᾳ με παράλαβε, καὶ ἐν ἐπιγνώσει κτῆμα, μὴ βρῶμα τοῦ ἀλλοτρίου· Σῶτερ, αὐτός με οἴκτειρον.

Ὑψηγόρος νῦν ὑπάρχω, θρασύς τε καὶ τὴν καρδίαν, εἰκῇ καὶ μάτην· μὴ τῷ Φαρισαίῳ συγκαταδικάσῃς με· μᾶλλον τοῦ Τελώνου τὴν ταπείνωσιν παράσχου μοι, μόνε οἰκτίρμων· Δικαιοκρίτα, αὐτῷ με συναρίθμησον.

Ἐξήμαρτον, ἐνυβρίσας τὸ σκεῦος τὸ τῆς σαρκός μου· οἶδα, οἰκτίρμων· ἀλλ' ἐν μετανοίᾳ με παρά- C λαβε, καὶ ἐν ἐπιγνώσει ἀνακάλεσαι· μὴ γένωμαι κτῆμα, μὴ βρῶμα τοῦ ἀλλοτρίου· Σῶτερ, αὐτός με οἴκτειρον.

Αὐτείδωλον ἐγενόμην, τοῖς πάθεσι τὴν ψυχήν μου βλάπτων, οἰκτίρμων. Ἀλλ' ἐν μετανοίᾳ με παράλαβε, καὶ ἐν ἐπιγνώσει μετακάλεσαι· μὴ γένωμαι κτῆμα, μὴ βρῶμα τοῦ ἀλλοτρίου· Σῶτερ, αὐτός με οἴκτειρον.

Οὐκ ἤκουσα τῆς φωνῆς σου· παρήκουσα τῆς Γραφῆς σου τοῦ νομοθέτου· Ἀλλ' ἐν μετανοίᾳ με παράλαβε, καὶ ἐν ἐπιγνώσει μετακάλεσαι· μὴ γένωμαι κτῆμα, μὴ βρῶμα τοῦ ἀλλοτρίου· Σῶτερ, αὐτός με οἴκτειρον.

Τῆς ὁσίας.

Ἀσώματον πολιτείαν, ἐν σώματι μετελθοῦσα· χάριν, ὁσία, πρὸς Θεοῦ μεγίστην ὄντως εἴληφας· D τῶν πιστῶς τιμώντων σε προΐστασο· διὸ δυσωποῦμεν παντοίων πειρατηρίων ἡμᾶς εὐχαῖς σου λύτρωσαι.

Μεγάλων ἀτοπημάτων εἰς βάθος κατενεχθεῖσα, οὐ κατεσχέσθης· ἀλλ' ἀνέδραμες λογισμῷ κρείττονι, πρὸς τὴν ἀκροτάτην, διὰ πράξεως, σαφῶς ἀρετὴν· παραδόξως ἀγγέλων φύσεις, Μαρία, καταπλήξασα.

Ἀνδρ.

Ἀνδρέα Πατέρων κλέος, εὐχαῖς σου μὴ ἐπιλάθῃ καθικετεύων παρεστὼς, Τριάδα τὴν ὑπέρθεον· ὅπως λυτρωθῶμεν τῆς κολάσεως, οἱ πόθῳ προστάτην σε

VARIÆ LECTIONES.

[11] Ἀλλ. ἐξέβλημαι.

θεῖον, παμμάκαρ, ἐπικαλοῦντες· τὸ Κρήτης ἐγκαλ- A λώπισμα.

Δόξα.

Ἀμέριστον τῇ οὐσίᾳ, ἀσύγχυτον τοῖς προσώποις θεολογῶ σε, τὴν τριαδικὴν μίαν Θεότητα· ὡς ὁμοβασίλειον, καὶ σύνθρονον· βοῶ σοι τὸ ᾆσμα τὸ μέγα, τὸ ἐν ὑψίστοις τρισσῶς ὑμνολογούμενον.

Θεοτόκιον.

Καὶ τίκτεις, καὶ παρθενεύεις, καὶ μένεις δι' ἀμφοτέρων. Φύσει παρθένος ὁ τεχθεὶς καινίζει νόμους φύσεως· ἡ νηδὺς δὲ κύει μὴ λοχεύουσα. Θεὸς ὅπου θέλει, νικᾶται φύσεως τάξιν. « Ποιεῖ γὰρ ὅσα βούλεται. »

Ὠδὴ ε'. Ὁ Εἱρμός.

B Ἐκ νυκτὸς ὀρθρίζοντα, φιλάνθρωπε, φώτισον, δέομαι, καὶ ὁδήγησον κἀμὲ, ἐν τοῖς προστάγμασί σου· καὶ δίδαξόν με, Σῶτερ, ποιεῖν τὸ θέλημά σου.

Ἐν νυκτὶ τὸν βίον μου διῆλθον ἀεί. Σκότος γὰρ γέγονα, καὶ βαθεῖά μοι ἀχλὺς, ἡ νὺξ τῆς ἁμαρτίας. Ἀλλ' ὡς ἡμέρας υἱὸν, Σῶτερ, ἀνάδειξόν με.

Τὸν Ῥουβὶμ μιμούμενος ὁ τάλας ἐγὼ, ἔπραξα ἄθεσμον καὶ παράνομον βουλὴν κατὰ τοῦ Θεοῦ ὑψίστου, μιάνας κοίτην ἐμὴν, ὡς τοῦ πατρὸς, ἐκεῖνος.

Ἐξομολογοῦμαί σοι, Χριστὲ Βασιλεῦ, ἥμαρτον, ἥμαρτον, ὡς οἱ πρὶν τὸν Ἰωσὴφ ἀδελφοὶ πεπρακότες· τὸν τῆς ἁγνείας καρπὸν, καὶ τὸν τῆς σωφροσύνης.

C Ὑπὸ τῶν συγγόνων, ἡ δικαία ψυχὴ δέδοτο· πέπρατο εἰς δουλείαν ὁ γλυκὺς, εἰς τύπον τοῦ Κυρίου· αὐτὴ δὲ ὅλη ψυχὴ, ἐπράθης τοῖς κακοῖς σου.

Ἰωσὴφ τὸν δίκαιον, καὶ σώφρονα νοῦν μίμησαι, τάλαινα καὶ ἀδόκιμε ψυχὴ, καὶ μὴ ἀκολασταίνου, ταῖς παραλόγοις ὁρμαῖς ἀεὶ παρανομοῦσα.

Εἰ καὶ λάκκῳ ᾤκησέ ποτε Ἰωσὴφ, Δέσποτα Κύριε· ἀλλ' εἰς τύπον τῆς ταφῆς καὶ τῆς ἐγέρσεώς σου. Ἐγὼ δὲ, τί σοί ποτε τοιοῦτον προσενέγκω;

Τοῦ Μωσέως ἤκουσας τὴν θίβην, ψυχὴ, ὕδασι, κύμασι φερομένην ποταμοῦ, ὡς ἐν θαλάμῳ πάλαι, φυγοῦσαν δρᾶμα πικρὸν βουλῆς Φαραωνίτου.

patronum, beatissime, desiderio invocamus; o Cretensium gloria.

Gloria.

Individuam substantia, personis inconfusam, unam trinam Deitatem prædico; velut cujus idem sit regnum, unaque sedes; magnum clamore submitto canticum, quod trine in altissimis celebratur.

In Deiparam.

Et paris, et es virgo, maneique utraque prærogativa. Qui natura virgo natus est, novavit leges naturæ. Porro gestas uterum, non suscepto semine. Vincit Deus, ubi est visum, naturæ ordinem; Nam « Quæcunque vult, facit [z]. »

Ode 5. Hirmus.

Mane a nocte vigilantem, illumina, precor, tu clemens, ac deduc in mandatis tuis; ac me, Salvator, doce facere voluntatem tuam [a].

Totam in nocte vitam meam duxi; nam fui tenebræ [b], profundaque mihi caligo, nox peccati est. Tu me nihilominus, Salvator, ut filium lucis effice.

Ruben illum [c], miser ego imitatus, iniquum impiumque consilium molitus sum adversus Deum altissimum, meo cubili polluto, qua ille ratione cubile polluit paternum.

Confiteor tibi, Christe Rex, peccavi, peccavi, velut qui olim Joseph fratres vendiderunt [d]: castitatis nimirum fructum, et continentiæ.

Tradita est a cognatis anima justa; venditus est in servum dulcis ille, in figuram Domini; at tu tota, anima, venundata es tuis vitiis.

Æmulare Joseph justum, ac mentem castam, o misera reprobaque anima; nec libidinose, semperque alienis a ratione cupiditatibus obsequens vivas.

Quanquam, here Domine, aliquando Joseph in lacu habitavit; id tamen in sepulturæ tuæ et resurrectionis typum. At ergo, quid unquam tibi ejusmodi offeram?

Mosis [e] theben audisti (37), o anima; ut aquis olim, ut fluminis fluctibus, velut thalamo vecta, amaram fugerit Pharaoniticarum insidiarum fa-
D bulam.

[z] Psal. CXXXIV, 6. [a] Psal. LXII, 2; CXVIII, 35; CXLII, 10. [b] Ephes. V, 8. [c] Gen. XXXV, 22; XLIX, 4. [d] Gen. XXXVII, 28. [e] Exod. II, 3.

COMBEFISII NOTÆ.

(37) *Theben.* Θήβην. Ita alius codex LXX et Cyril. in *Glaphyris*; pro quo alii codices LXX θίβιν· de qua voce videndus Nobil. ad II illud Exod. Vulg. *Fiscellam scirpeam*: Tigur. *arculam arundineam*; interp. Origenis, ex papyro putat. Vix certe sciri potest ex qua esset materia. Complutensia habent θήχην· quod sit arca velut generice, quo forte modo scripserunt LXX; nec vox Hebraica vult aliud: nam est תבה: quæ eadem habetur Gen. VI, ubi LXX reddunt κιβωτόν· Noster *arcam*; atque adeo quidquid mysterii vel Augustinus vel alii in ea voce LXX, quæ corrupta videtur, invenerunt, aut suspicati sunt, manasse videtur ex ignorantia Hebraicæ linguæ; Noster vero in ea peritissimus sive Hieronymus, sive alius, sibi indulsit, ut genericum determinate explicaret: quomodo idem nomen herbæ ramis suis obumbrantis non ita notæ, קיקיון: *hederam* reddidit Jon. IV, ubi LXX *cucurbitam* habent: quidam dicunt *ricinum*: quæ mutatio et nova versio, assuetas versioni LXX aures quorumdam Africanorum, non parum offendit: qua de re Hieronymus et Augustinus epistolis mutuo datis.

Quando occidentes olim, o misera anima, impubem, virili facie, sobriam actionem, obstetrices audisti, tu jam instar Mosis illius magni (38), nutri sapientiam.

Non interfecisti, o anima, sicut magnus Moses, Ægyptium animum [f] : Qui, cedo, pœnitens habitabis, perturbationum vitiorumque desertum?

Magnus ille Moses desertis locis habitavit [g]. Age vero, ipsius tu imitare vitæ rationem, ut divinæ pariter in rubo apparitionis, o anima, contemplationem consequaris.

Tibi, ipsa Mosis virgam, percutientem mare, imumque gurgitem astringentem ac durantem [h], crucis divinæ typo, o anima, exprime : quo et tibi licuerit magna efficere.

Obtulit Aaron Deo ignem inculpatum, sine dolo : Ophni autem et Phinees, qua tu ratione, o anima [i]; alienum, nempe pollutam vitam, Deo obtulerunt.

Quam, Domine, molestus animo fui, Pharaoni illi amaro [j] : velut anima ac corpore Jamne et Mambre [k], mensque obruta; tu nihilominus adjuva me.

Cœno animum, o miser, conspurcatus sum : Lava me, Domine, precor, mearum lacrymarum balneo; carnis meæ tunicam, nivis instar dealbans.

Siquidem mea opera, o Salvator, scrutari velim : video nullum mortalem esse quem peccando non superaverim; quippe peccavi in intelligentia mentis, non ignorans.

Parce, parce, Domine, tuo figmento; peccavi, remitte mihi. Solus enim ipse natura mundus es, nec alius quisquam, extra te, immunis est a sorde.

Propter me, qui Deus esses, meam hominis induisti formam ; edidisti miracula, sanans leprosos, astringens paralyticos [l] : sanguine fluentis, o Salvator, fimbriæ tactu, sistens rivos [m].

Imitare sanguine fluentem illam, o anima infelix; accede, tene fimbriam Christi, ut libereris a plagis, audiasque ab eo : « Fides tua te salvam fecit [n]. »

Esto, o anima, deorsum inclinatæ illius feminæ imitatrix : accede, advolvere pedibus Jesu, ut te is erexerit [o], ac recta incedas semitas Domini.

A Εἰ τὰς μαίας ἤκουσας, κτεινούσας ποτὲ ἀντιδ… τάλαινα, τὴν ἀῤῥενωπὸν, ψυχὴ, τῆς σωφροσύν… πρᾶξιν· νῦν ὡς ὁ μέγας Μωσῆς τιθηνοῦ τὴν σ… φίαν.

Ὡς Μωσῆς ὁ μέγας τὸν Αἰγύπτιον νοῦν, οὐκ ἀ… ἔκτεινας, ψυχή· καὶ πῶς οἰκήσεις, λέγε, τὴν ἐρημ… παθῶν, διὰ τῆς μετανοίας;

Τὰς ἐρήμους ᾤκησεν ὁ μέγας Μωσῆς. Δεῦρο δ… μίμησαι τὴν αὐτοῦ διαγωγήν· ἵνα καὶ τῆς ἐν βά… θεοφανείας, ψυχὴ, ἐν θεωρίᾳ γένῃ.

Τὴν Μωσέως ῥάβδον εἰκονίζου, ψυχὴ, πλήττουσα… θάλασσαν, καὶ πηγνύουσαν βυθὸν, τύπῳ σταυρ… τοῦ θείου· δι' οὗ δυνήσῃ καὶ σὺ μεγάλα ἐκτ…
B λέσαι.

Ἀαρὼν προσέφερε τὸ πῦρ τῷ Θεῷ, ἄμωμο… ἄδολον· ἀλλ' Ὀφνεὶ καὶ Φινεὲς, ὡς σὺ, ψυχ… προσῆγον ἀλλότριον τῷ Θεῷ, ῥερυπωσμένον βίον.

Ὡς βαρὺς τὴν γνώμην, Φαραὼ τῷ πικρῷ, γ… γονα, Δέσποτα. Ἰαμνῆς καὶ Ἰαμβρῆς [12], τὴν ψυχ… καὶ τὸ σῶμα, καὶ ὑποβρύχιος νοῦς· ἀλλὰ βοήθησ… μοι.

Τῷ πηλῷ συμπέφυρμαι, ὁ τάλας, τὸν νοῦν… Πλῦνόν με, Δέσποτα, τῷ λουτῆρι τῶν ἐμῶν δα… κρύων, δέομαί σου, τὴν τῆς σαρκός μου στολὴ… λευκάνας ὡς χιόνα.

Ἐὰν ἐρευνήσω μου τὰ ἔργα, Σῶτερ, ἅπαντ…
C ἄνθρωπον ὑπερβάντα ἐμαυτὸν ὁρῶ ταῖς ἁμαρ… τίαις, ὅτι ἐν γνώσει φρενῶν ἥμαρτον, οὐ… ἀγνοίᾳ.

Φεῖσαι, φεῖσαι, Κύριε, τοῦ πλάσματός σου… ἥμαρτον, ἄνες μοι· ὅτι φύσει καθαρὸς αὐτὸς ὑπάρ… χεις μόνος, καὶ ἄλλος πλὴν σοῦ οὐδεὶς, ὑπάρχε… ἔξω ῥύπου.

Δι' ἐμὲ Θεὸς ὢν, ἐμορφώθης ἐμέ· ἔδειξας θαύματα, ἰασάμενος λεπροὺς, καὶ παραλύτους σφίγξας· αἱμόῤῥου στήσας, Σῶτερ, ἀφῇ κρασπέδου ῥύσιν.

Τὴν αἱμόῤῥουν μίμησαι, ἀθλία ψυχή· πρόσδραμε, κράτησον τοῦ κρασπέδου τοῦ Χριστοῦ· ἵνα ῥυσθῇς μαστίγων· ἀκούσῃς δὲ παρ' αὐτοῦ· « Ἡ πίστις σου σέσωκέ σε. »

D Τὴν χαμαὶ συγκύπτουσαν μιμοῦ, ὦ ψυχή· πρόσελθε, πρόσπεσον τοῖς ποσὶ τοῦ Ἰησοῦ, ἵνα σε ἀνορθώσῃ, καὶ βηματίσῃς ὀρθῶς τὰς τρίβους τοῦ Κυρίου.

[f] Exod. II, 12. [g] Exod. III, 1. [h] Exod. XIV, 21. [i] I Reg. II, 12. [j] Exod. VII, 2. [k] II Tim. III, 8. [l] Matth. X, 8. [m] Luc. VIII, 44. [n] ibid. 48. [o] Luc. XIII, 12.

VARIÆ LECTIONES.

[12] γρ. Μαμβρῆς.

COMBEFISII NOTÆ.

(38) *Instar Mosis illius magni.* Posset accipi passive, textu nonnihil correcto in voce Μωσῆς, alludendo ad historiam servati Mosis, qui divinum aliquid ac vere virile vultu præferret; quo et parentes ad ejus salutem modis omnibus procurandam, impulerit; eoque, sapientiæ typus et mascula ac generosæ, ex virtutis ratione, actionis congrue admodum accipi possit. Verum quadrat textus, ut habet, in sequentibus.

Εἰ καὶ φρέαρ, Δέσποτα, ὑπάρχεις βαθὺ, βλῦσόν A
μοι νάματα ἐξ ἀχράντων σου φλεβῶν· ἵν' ὡς ἡ Σαμαρεῖτις, μηκέτι πίνων διψῶ· ζωῆς γὰρ ῥεῖθρον βλύζεις.

Σιλωὰμ γενέσθω μοι τὰ δάκρυά μου, Δέσποτα Κύριε, ἵνα νίψωμαι κἀγὼ τὰς κόρας, τῆς ψυχῆς μου, καὶ ἴδω σε νοερῶς, τὸ φῶς τὸ προαιώνιον.

Τῆς Ὁσίας.

Ἀσυγκρίτῳ ἔρωτι, πανόλβιε, ξύλον ποθήσασα προσκυνῆσαι τῆς ζωῆς, ἠξίωσαι τοῦ πόθου· ἀξίωσον οὖν κἀμὲ, τυχεῖν τῆς ἄνω δόξης.

Ῥεῖθρον Ἰορδάνιον περάσασα, εὗρες ἀνάπαυσιν, τὴν ἐνώδυνον σαρκὸς ἡδονὴν ἐκφυγοῦσα· ἧς καὶ ἡμᾶς ἐξελοῦ, σαῖς προσευχαῖς, ὁσία.

Ἀνδρέου. B

Ὡς ποιμένων ἄριστος, Ἀνδρέα σοφὲ, πρόκριτον ὄντα σε, πόθῳ δέομαι πολλῷ καὶ φόβῳ, σαῖς πρεσβείαις τῆς σωτηρίας τυχεῖν, καὶ ζωῆς αἰωνίου.

Δόξα.

Σὲ, Τριὰς, δοξάζομεν, τὸν ἕνα Θεόν· Ἅγιος, ἅγιος, ἅγιος εἶ, ὁ Πατὴρ, ὁ Υἱὸς, καὶ τὸ Πνεῦμα· ἁπλῆ οὐσία· μονὰς ἀεὶ προσκυνουμένη.

Καὶ νῦν. Θεοτόκ.

Ἐκ σοῦ ἠμφιάσατο τὸ φύραμά μου, ἄφθορε, ἄνανδρε, μητροπαρθένε, Θεὸς ὁ κτίσας τοὺς αἰῶνας· καὶ ἥνωσεν ἑαυτῷ τὴν τῶν ἀνθρώπων φύσιν.

Ὠδὴ ς'. Ὁ Εἱρμός. C

Ἐβόησα ἐν ὅλῃ καρδίᾳ μου πρὸς τὸν οἰκτίρμονα Θεὸν, καὶ εἰσήκουσέ μου ἐξ ᾅδου κατωτάτου· καὶ ἀνήγαγεν ἐκ φθορᾶς τὴν ψυχήν μου.

Τὰ δάκρυα, Σῶτερ, τῶν ὀφθαλμῶν μου, καὶ τοὺς ἐκ βάθους στεναγμοὺς, καθαρῶς προσφέρω, βοώσης τῆς καρδίας· Ὦ Θεὸς, ἡμάρτηκά σοι, ἱλάσθητί μοι.

Ἐξένευσας, ψυχὴ, τοῦ Κυρίου σου, ὥσπερ Δαθὰν καὶ Ἀβειρών· ἀλλὰ φεῖσαι κράξον ἐξ ὅλης τῆς καρδίας, ἵνα μὴ τὸ χάσμα τῆς γῆς σε συγκαλύψῃ.

Ὡς δάμαλις, ψυχὴ, παροιστρήσασα, ἐξωμοιώθης τῷ Ἐφραΐμ· ὡς δορκὰς ἐκ βρόχων, ἀνάσωσον τὸν βίον, πετρωθεῖσα πράξει τὸν νοῦν, καὶ θεωρίᾳ.

Ἡ χεὶρ ἡμᾶς Μωσέως πιστώσηται, ψυχὴ, πῶς δύναται Θεὸς, λεπρωθέντα βίον λευκᾶναι καὶ καθᾶ- D
ραι· καὶ μὴ ἀπογνῷς σεαυτὴν, κἂν λεπρώθῃς.

Τὰ κύματα, Σῶτερ, τῶν πταισμάτων μου, ὡς ἐν θαλάσσῃ Ἐρυθρᾷ, ἐπαναστραφέντα ἐκάλυψέ με ἄφνω, ὡς τοὺς Αἰγυπτίους ποτὲ καὶ τοὺς τριστάτας.

Quanquam, Domine, altus puteus es [p], fluenta mihi ab intemeratis tuis venis effunde, ut quemadmodum mulier Samaritana, non amplius bibendo sitiam : quippe scaturis fluenta vitæ.

Sint mihi Siloe [q], meæ lacrymæ, o here Domine; ut et ipse lavem pupillas animæ, teque lumen prææternum videam spiritali ratione.

In Sanctam.

Cum, beatissima, incomparabili ardore desiderasses adorare lignum vitæ, facta es voti compos: fac ergo ut et ipse compos cœlestis gloriæ merear effici.

Ubi Jordanis flumen transisses, invenisti requiem, molesta carnis voluptate liberata; qua et nos, tuis precibus, o sancta, liberos effice.

In Andream.

Tuis, sapiens Andrea, intercessionibus, velut qui pastorum optimus, eximius sis, multo tum desiderio, tum metu, salutem consequi ac æternam vitam rogo.

Gloria.

Te Trinitatem, Deum unum glorificamus : Sanctus, sanctus, sanctus es, Pater, et Filius, et Spiritus sanctus : substantia simplex, adorata semper unitas.

Et nunc. Ad Deipar.

Ex te induit nostram conspersionem, o incorrupta, nescia viri, Virgo Mater, qui Deus sæcula condidit, atque humanam sibi naturam univit.

Ode 6. Hirmus.

Clamavi ex toto corde meo ad misericordem Deum, et exaudivit me de imo inferno; et eduxit ab interitu vitam meam [r].

Lacrymas, o Salvator, oculorum meorum, et cordis clamantis profunda suspiria palam offero. O Deus, tibi peccavi; esto mihi propitius.

Extranea facta es, o anima, a Domino tuo velut Dathan et Abiron [s]; clama vero ex toto corde : Parce; ut ne te terræ hiatus operuerit.

Insaniens, o anima, tanquam vitula, facta es similis Ephraim [t]; salva a laqueis instar capreæ [u], vitam; mentem in petram durata, et actione et contemplatione.

Nobis, o anima, Mosis manus fidem certam fecerit [v], ut possit Deus leprosam vitam dealbare ac mundare : neque ipsa, quamvis leprosa, spem tui abjeceris.

Delictorum meorum fluctus, o Salvator, velut in mari Rubro subito reversi, me operuerunt, sicut Ægyptios olim et principes [Pharaonis [x]] (39).

[p] Joan. IV, 11. [q] Joan. IX, 7. [r] Jonæ. II, 3, 7. [s] Num. XVI, 31. [t] Osee X, 11. [u] Eccli. XXVII, 22. [v] Exod. IV, 6. [x] Exod. XIV, 26; XV, 4.

COMBEFISII NOTÆ.

(39) *Et principes.* Καὶ τοὺς τριστάτας. Forte deest Φαραώ. Habetur ea vox Exod. XV, 4, expressa ex Hebræo ubi est : *Et electio* שלישיו *principum ejus*, sive ut Vulg. *Electi principes ejus* : quasi præcipui et primarii inter primarios sive duces sive satellites et milites, quales et Latini suos Triarios habent : de qua voce multis noster Sant., Nobil., ipse etiam Hieronymus c. XXIII Ezech., etc.

A Fuisti, o anima, improbo animo scelestoque, velut olim Israel [y] : irrationabiliter enim voluptariam vitiorum voracitatem divino illi manna prætulisti.

Carnes suillas, et lebetes, ac cibos Ægypti [z], cœlesti escæ præposuisti, o anima, quemadmodum improbus olim populus ille in deserto.

Præhabuisti, o anima, inventos a Philistinis puteos, venæ illi petræ, ex qua theologiæ fontes profundit sapientiæ flumen [a].

Percutiens Moses famulus tuus virga [a'] figurate petram, vivificum latus tuum præfigurabat, ex quo omnes, o Salvator, haurimus potum vitæ.

Scrutare, anima : explora instar Jesu Nave [b], B terram hæreditatis, qualisnam sit : atque in ea, recte legi obtemperans, ac legitime constitutis vitæ rationibus, habita.

Surge, et sicut Jesus, expugna Amalec [c]; nempe vitia carnis : ac semper Gabaonitas [d], fallaces, inquam, cogitationes vince.

Transi fluxam temporis naturam, qua olim arca ratione; et posside, o anima, terram illam promissam [e] : quippe Deus jubet ut proficiscare.

Quemadmodum Petrum clamantem salvasti [f], salvum me fac cito, o Salvator : me libera a sæva procella (40), extendens manum tuam, ac educ a peccati profundo.

Portum te agnosco securum, Christe Domine : sed me protinus ab irremeabili peccati et desperationis fundo erue. C

Sum ego, Salvator, quam olim perdidisti drachmam regiam [g]. Verum, accensa lucerna, Præcursore tuo, o Verbum, require atque inveni tuam imaginem.

In Sanctam.

Vitiorum exstinctura flammam, juges lacrymarum rivulos oculis deduxisti, o Maria, velut igni succensa animam : quarum et mihi tuo famulo impertiaris gratiam.

Cœlestem quamdam affectionum vacuitatem, vitæ rationibus summa in terris celsitudine institutis, consecuta es, o Mater : quamobrem ut te laudantes a vitiis et affectionibus liberi evadant, intercessionibus tuis obtine. D

In Andream.

Qui te Cretensium pastorem et præsulem, orbisque universi intercessorem noverim, ad te accedo, o Andrea, et clamo ad te. Tu, Pater, erue a peccati profundo.

Gloria.

Simplex sum individua Trinitas, personis discre-

'Αγνώμονα, ψυχὴ, τὴν προαίρεσιν ἔσχες, ὡς πρὶν ὁ Ἰσραήλ· τοῦ γὰρ θείου μάννα προέκρινας ἀλόγως τὴν φιλήδονον τῶν παθῶν ἀδηφαγίαν.

Τὰ ὕεια κρέα, καὶ τοὺς λέβητας, καὶ τὴν Αἰγύπτιον τροφὴν, τῆς ἐπουρανίου προέκρινας, ψυχή μου, ὡς ὁ πρὶν ἀγνώμων λαὸς ἐν τῇ ἐρήμῳ.

Τὰ φρέατα, ψυχὴ, προετίμησας τῶν Χαναναίων ἐννοιῶν, τῆς φλεβὸς τῆς πέτρας, ἐξ ἧς ὁ τῆς σοφίας ποταμὸς προχέει κρουνοὺς θεολογίας.

Ὡς ἔπληξε Μωσῆς ὁ θεράπων σου ῥάβδῳ τὴν πέτραν, τυπικῶς τὴν ζωοποιόν σου πλευρὰν προδιετύπου· ἐξ ἧς πάντες πόμα ζωῆς, Σῶτερ, ἀντλοῦμεν.

Ἐρεύνησον, ψυχὴ· κατασκόπησον, ὡς Ἰησοῦς ὁ τοῦ Ναυῆ, τῆς κληροδοσίας τὴν γῆν, ὁποία ἐστὶ, καὶ κατοίκησον ἐν αὐτῇ δι' εὐνομίας.

Ἀνάστηθι, καὶ καταπολέμησον, ὡς Ἰησοῦς, τὸν Ἀμαλὴκ· τῆς σαρκὸς τὰ πάθη· καὶ τοὺς Γαβαωνίτας, τοὺς ἀπατηλοὺς λογισμοὺς, ἀεὶ νικῶσα.

Διάβηθι τοῦ χρόνου τὴν ῥέουσαν φύσιν, ὡς πρὶν ἡ κιβωτός· καὶ τῆς γῆς ἐκείνης γενοῦ ἐν κατασχέσει, τῆς ἐπαγγελίας, ψυχή· Θεὸς κελεύει.

Ὡς ἔσωσας τὸν Πέτρον βοήσαντα, σῶσον προφθάσας με, Σῶτερ, τοῦ θηρός με ῥεῦσαι, ἐκτείνας σου τὴν χεῖρα, καὶ ἀνάγαγε τοῦ βυθοῦ τῆς ἁμαρτίας.

Λιμένα σε γινώσκω γαλήνιον, Δέσποτα Χριστέ· ἀλλ' ἐκ τῶν ἀδύτων βυθῶν τῆς ἁμαρτίας καὶ τῆς ἀπογνώσεως, με προφθάσας ῥῦσαι.

Ἐγώ εἰμι, Σῶτερ, ἣν ἀπώλεσας πάλαι βασιλείαν δραχμήν· ἀλλ' ἀνάψας λύχνον, τὸν Πρόδρομόν σου, Λόγε, ἀναζήτησον καὶ εὑρὲ τὴν σὴν εἰκόνα.

Τῆς Ὁσίας.

Ἵνα παθῶν τὴν φλόγα κατασβέσῃς, δακρύων ἔβλυζες ἀεὶ ὀχετοὺς, Μαρία, ψυχὴ πυρπολουμένη· ὧν τὴν χάριν νέμοις κἀμοὶ τῷ σῷ οἰκέτῃ.

Ἀπάθειαν οὐράνιον ἐκτήσω, δι' ἀκροτάτης ἐπὶ γῆς πολιτείας, Μῆτερ· διὸ τοὺς σὲ ὑμνοῦντας ἐκ παθῶν ῥυσθῆναι, πρεσβείαις σου δυσώπει.

Ἀνδρέου.

Τῆς Κρήτης σε ποιμένα καὶ πρόεδρον, καὶ οἰκουμένης πρεσβευτὴν ἐγνωκὼς, προστρέχω, Ἀνδρέα, καὶ βοῶ σοι· Ἐξελοῦ, Πάτερ, βυθοῦ τῆς ἁμαρτίας.

Δόξα.

Τριάς εἰμι ἁπλῆ ἀδιαίρετος, διαιρετὴ προσωπι-

[y] Num. xxi, 5. [z] Exod. xvi, 3. [a] Gen. xxvi, 15. [a'] Exod. xvii, 6. [b] Num. xiv, 6. [c] Exod. xvii, 13. [d] Josue xi, 21. [e] Josue iii, 14. [f] Matth. xiv, 30. [g] Luc. xv, 8.

COMBEFISII NOTÆ.

(40) *A sæva procella.* Non omnino reddimus quod Græca sonant, si tamen sunt satis sana : ἐκ θηρός· velut feræ instar et leonis hiantis, mare procellosum, et paratum absorbere fluctibus, describat.

κῶς· καὶ μονὰς ὑπάρχω τῇ φύσει ἡνωμένη· ὁ Πατὴρ, φησὶν, ὁ Υἱὸς, καὶ θεῖον Πνεῦμα.

Καὶ νῦν. Θεοτόκιον.

Ἡ μήτρα σου Θεὸν τέτοκε μεμορφωμένον καθ' ἡμᾶς· ὃν ὡς Κτίστην πάντων δυσώπει, Θεοτόκε, ἵνα ταῖς πρεσβείαις ταῖς σαῖς δικαιωθῶμεν.

Κοντάκιον ἰδιόμ. Ἦχ. πλ. β'.

Ψυχή μου, ψυχή μου, ἀνάστα· τί καθεύδεις; τὸ τέλος ἐγγίζει, καὶ μέλλεις θορυβεῖσθαι. Ἀνάνηψον οὖν, ἵνα φείσηταί σου Χριστὸς ὁ Θεὸς, ὁ πανταχοῦ παρὼν, καὶ τὰ πάντα πληρῶν.

Ὁ οἶκος

Τὸ τοῦ Χριστοῦ ἰατρεῖον βλέπων ἀνεῳγμένον, καὶ τὴν ἐκ τούτου τῷ Ἀδὰμ πηγάζουσαν ὑγείαν, ἔπαθεν, ἐπλήγη ὁ διάβολος, καὶ ὡς κινδυνεύων ὠδύρετο, καὶ τοῖς αὐτοῦ φίλοις ἀνεβόησε· Τί ποιήσω τῷ Υἱῷ τῆς Μαρίας; Κτείνει με ὁ Βηθλεεμίτης· ὁ πανταχοῦ παρὼν, καὶ τὰ πάντα πληρῶν.

Τὸ συναξάριον.

Τῇ αὐτῇ ἡμέρᾳ, κατὰ τὴν ἀρχαίαν παράδοσιν, ψάλλομεν καὶ τὴν τοῦ μεγάλου Κανόνος ἀκολουθίαν. Τοῦτον τὸν ὄντως κανόνων μέγιστον, ἁπάντων ἀρίστως καὶ τεχνηέντως ἡρμόσατο καὶ συνέγραψεν, ὁ ἐν ἁγίοις Πατὴρ ἡμῶν Ἀνδρέας ὁ ἀρχιεπίσκοπος Κρήτης, ὁ καὶ Ἱεροσολυμίτης ὀνομαζόμενος· ὃς ὥρμητο μὲν ἐκ Δαμασκοῦ, ἐπὶ τεσσαρεσκαιδεκάτῳ δὲ ἔτει τῆς αὐτοῦ ἡλικίας παιδευτηρίῳ γραμματικῆς ἐκδοθεὶς, καὶ τὴν ἐγκύκλιον παίδευσιν ἐξασκήσας, εἰς Ἱεροσόλυμα γεγονὼς, τὸν μοναστὴν ὑπέρχεται βίον· ὁσίως δὲ καὶ θεοφιλῶς διάγων [13] ἐν ἡσύχῳ καὶ ἀταράχῳ τῇ βιοτῇ, πολλὰ μὲν καὶ ἄλλα συγγράμματα βιωφελῆ καταλείπει τῇ τοῦ Θεοῦ Ἐκκλησίᾳ, λόγους τε καὶ κανόνας· μᾶλλον ἁδρότερος ἐν τοῖς πανηγυρικοῖς γινόμενός τε καὶ δεικνύμενος. Σὺν πολλοῖς δὲ ἄλλοις, καὶ τὸν παρόντα μέγαν Κανόνα συνέταξε, κατάνυξιν ἄπειρον ἔχοντα. Πᾶσαν γὰρ Παλαιᾶς καὶ Νέας ἱστορίαν Διαθήκης ἐρανισάμενος καὶ ἀθροίσας, τὸ παρὸν ἡρμόσατο μέλος, ἀπὸ Ἀδὰμ δηλαδὴ μέχρι καὶ αὐτῆς Χριστοῦ ἀναλήψεως, καὶ τοῦ τῶν ἀποστόλων κηρύγματος· προτρέπεται γοῦν διὰ τούτου πᾶσαν ψυχὴν, ὅσα μὲν ἀγαθὰ τῆς ἱστορίας ζηλοῦν καὶ μιμεῖσθαι πρὸς δύναμιν· ὅσα δὲ τῶν φαύλων, ἀποφεύγειν· καὶ ἀεὶ πρὸς Θεὸν ἀνατρέχειν, διὰ μετανοίας, διὰ δακρύων, καὶ ἐξομολογήσεως, καὶ τῆς ἄλλης δηλονότι εὐαρεστήσεως. Πλὴν εἰς τοσοῦτόν ἐστιν εὔρους καὶ ἐμμελὴς, ὡς καὶ αὐτὴν τὴν σκληροτέραν ψυχὴν ἱκανῶς μαλάξαι, καὶ πρὸς ἀνάνηψιν [14] ἀγαθοῦ ἐγεῖραι· εἰ μόνον μετὰ συντετριμμένης καρδίας καὶ προσοχῆς ἀνηκούσης ψάλλοι [15]. Ἐποίησε δὲ τοῦτον, ὅτε καὶ ὁ πατριάρχης Ἱεροσολύμων ὁ μέγας Σωφρόνιος, τὸν τῆς Αἰγυπτίας Μαρίας Βίον συνεγράψατο. Κατάνυξιν γὰρ καὶ οὗτος ὁ βίος προβέβληται ἄπειρον, καὶ πολλὴν τοῖς ἐπταικόσι καὶ ἁμαρτάνουσι παραμυθίαν δίδωσι, εἰ μόνον τῶν φαύλων ἀποστῆναι βούλοιντο.

A ta: unitasque exsisto unita natura, Pater, inquit, Filius, ac divinus Spiritus.

Et nunc. Ad Deiparam.

Tua vulva Deum peperit in humana forma; quem velut omnium Creatorem exora, ut tuis, Dei Genitrix, intercessionibus justificemur.

Contacion idiomelon ton. 2, obliq.

Anima mea, mea, exsurge, anima; quid dormis? Imminet finis, atque tibi est futura turbatio. Ad meliorem ergo frugem revertaris, ut tibi Christus Deus ignoverit, qui ubique præsens, omnia replet.

Domus.

Videns diabolus medicam Christi officinam apertam, indeque manantem Adæ sanitatem, com-
B motus est et perterritus; ac velut in periculo versans, luctu ad amicos clamavit: Quid faciam Mariæ Filio? Me Bethleemita ille perdit: qui ubique præsens, omnia replet.

Synaxarium.

Eodem die, ex antiqua traditione canimus officium magni Canonis. Hunc vere ex omnibus canonibus maximum, optime et ingeniose composuit et conscripsit sanctus Pater noster Andreas, archiepiscopus Cretæ, cognomento Hierosolymitanus. Hic Damasco oriundus, decimo quarto ætatis suæ anno grammaticæ studia aggressus, et omnibus artibus liberalibus probe excultus, Hierosolymam pervenit, vitamque monasticam iniit: qui sancte
C et pie vitam peragens, in quieto illo et a turbis remoto vivendi instituto, multa quidem cum alia Ecclesiæ Dei fructuosa ingenii sui monumenta reliquit, tum varias orationes et canones: crebrior tamen et copiosior in panegyricis orationibus exsistit. Ex multis autem aliis, hunc quoque magnum Canonem, infinita contritione animique compunctione refertum, elaboravit. Collecta enim in unum universa Veteris et Novi Testamenti historia, canticum hoc composuit: ab Adamo videlicet, usque ad Christi Assumptionem et prædicationem apostolorum: quo quidem omnem animam cohortatur, ut ea quæ in historia videt esse bona et laudabilia, pro viribus sectetur; quæ vero mala, fugiat et aversetur; semperque ad Deum
D recurrat per pœnitentiam, per lacrymas, per confessionem, et per alia hujusmodi Deum placandi, eique placendi media. Quin adeo Canon hic canorus est et in animos tam facile influit, ut et mentem, etsi præduram, abunde emolliat, et ad recipiendum id quod bonum et honestum est, excitet; dummodo corde contrito, et debita cum attentione psallatur. Fecit autem hunc Canonem eo tempore quo magnus Sophronius patriarcha Hierosolymitanus, Vitam Mariæ Ægyptiacæ litteris mandavit; quæ et ipsa compunctionis plenissima est, lapsisque et peccatoribus multum consolatio-

VARIÆ LECTIONES.

[13] Apud Grcls. διαζῶν. [14] Grcls. ἀγάλληψιν. [15] Grcls. ψάλλοιτο.

nis affert, si modo a pravis operibus desistere velint. Lege autem receptum est ut hac die legantur hac de causa. Cum enim sancta Quadragesima ad finem tendat, ne homines segniores effecti spiritalia certamina negligentius ineant, vitamque sobriam et temperantem valere jubeant, maximus adest Andreas, qui, velut Aliptes, per historias magni Canonis, enumerando insigniorum virorum virtutem, et improborum casum et eversionem, eos qui laboribus insistunt, alacriores, et, ut ita dicam, generosiores facit : ut viriliter ea quæ supersunt, capessant. Sanctus vero Sophronius, mirabili sua illa oratione et tractatu, sobrios et ipse facit, et ad Deum excitat, ne corruant, neve desperent, licet aliquibus peccatis irretiti fuerint. Quanta enim sit Dei humanitas et clementia in illos qui ex toto corde præteritæ vitæ noxas relinquere cogitant, narratio de Maria Ægyptiaca abunde docet. Appellatur autem magnus Canon, ut forte quisquam dixerit, propter etiam sententiarum pondus et gravitatem, quarum feracissimus est hujus Canonis auctor : in his componendis præclare exercitatus : quodque cum cæteri canones, triginta aut paulo amplius, troparia contineant, iste ad ducenta et quinquaginta progrediatur, quolibet ex illis ineffabilem stillante dulcedinem et voluptatem. Jure igitur optimo et convenienter sancitum est ut magnus iste Canon, et compunctionis plenissimus, in magna saltem Quadragesima psallatur. Hunc præclarissimum et maximum Canonem, nec non tractatum Vitæ sanctæ Mariæ Ægyptiacæ, ipsemet Pater noster Andreas primus Constantinopolim tulit, quando ab Hierosolymorum patriarcha Theodoro, ad sextam synodum subsidio missus est. Tunc enim monasticam vitam adhuc profitens, cum adversus Monothelitas fortiter decertasset, Ecclesiæ Constantinopolitanæ clero ascriptus est : deinceps in ea diaconus et pupillorum curator et altor constituitur : nec longo post tempore, archiepiscopus Cretæ ordinatus est. Postea proxime ad locum, qui Hierisus dicitur, cum Mitylenum pervenisset, migravit ad Dominum, cum satis multo tempore suam sedem tenuisset (41). Ejus intercessionibus miserere nostri, Deus. (*Deinde dicuntur Beatitudines cum veniis.*)

Ton. 2 obliq. Vers. Memento mei, Domine, in regno tuo.

Olim, Christe, clamantem ad te de cruce latronem : « Memento mei [h], » paradisi fecisti civem :

A Ἐτάχθησαν δὲ καὶ κατὰ τὴν παροῦσαν ἡμέραν ψάλλεσθαι καὶ ἀναγινώσκεσθαι δι' αἰτίαν ταύτην. Ἐπειδὴ γὰρ πρὸς τὸ τέλος ἐγγίζει ἡ ἁγία τεσσαρακοστὴ, ἵνα μὴ οἱ ἄνθρωποι ῥᾴθυμοι γεγονότες πρὸς τοὺς πνευματικοὺς ἀγῶνας ἀμελέστερον διατεθῶσι, καὶ τοῦ σωφρονεῖν καθάπερ ἐν πᾶσι ἀπόσχοιντο· ὁ μὲν μέγιστος Ἀνδρέας, οἷά τις ἀλείπτης, διὰ τῶν ἱστοριῶν τοῦ μεγάλου Κανόνος, τῶν μεγάλων ἀνδρῶν λέγων τὴν ἀρετὴν, καὶ τῶν φαύλων αὖθις τὴν ἐκτροπὴν, ὡς ἄν τις φαίη, γενναιοτέρους τοὺς κάμνοντας παρασκευάζει, καὶ ἀνδρικῶς τοῖς ἔμπροσθεν ἐπεκτείνεσθαι. Ὁ δὲ ἱερὸς Σωφρόνιος, διὰ τοῦ ὑπερφυοῦς αὐτοῦ λόγου, σώφρονας καὶ αὖθις εἶναι ποιεῖ, καὶ πρὸς Θεὸν διεγείρει, καὶ μὴ καταπίπτειν, μηδὲ ἀπογινώσκειν, εἰ καὶ τέως τισὶν B ἑάλωσαν παραπτώμασιν. Ὅση γὰρ ἡ τοῦ Θεοῦ φιλανθρωπία καὶ συμπάθεια, τοῖς ὁλοψύχως ἐκ τῶν πρώην πταισμάτων ἐπιστρέφειν αἱρουμένοις, ἡ κατὰ τὴν Αἰγυπτίαν διήγησις παριστᾷ. Λέγεται δὲ μέγας Κανὼν, ἴσως ἄν τις εἴπῃ, καὶ κατ' αὐτὰς τὰς ἐννοίας καὶ τὰ ἐνθυμήματα· γόνιμος γάρ ἐστιν ὁ τούτου ποιητὴς, ἀρίστως αὐτὰ συντιθέμενος· καὶ ὅτι τῶν λοιπῶν κανόνων ἀνὰ τριάκοντα, καὶ μικρόν τι πρὸς τροπαρίων ἐχόντων, οὗτος εἰς διακόσια καὶ πεντήκοντα πρόεισιν, ἑνὸς ἑκάστου ἄῤῥητον ἀποστάζοντος ἡδονήν. Ἁρμοδίως οὖν ἄρα καὶ προσηκόντως, ὁ μέγας οὗτος Κανὼν, καὶ μεγάλην κεκτημένος κατάνυξιν, κἂν τῇ μεγάλῃ τῶν Τεσσαρακοστῶν κατατέτακται. Τοῦτον τὸν ἄριστον Κανόνα C καὶ μέγιστον, καὶ τὸν τῆς ὁσίας Μαρίας λόγον, ὁ αὐτὸς Πατὴρ ἡμῶν Ἀνδρέας πρῶτος εἰς τὴν Κωνσταντίνου κεκόμικεν, ὅτε πρὸς τοῦ πατριάρχου Ἱεροσολύμων Θεοδώρου, τῇ ἕκτῃ συνόδῳ σταλεὶς εἰς βοήθειαν, παρεγένετο. Τότε γὰρ ἀρίστως κατὰ τῶν Μονοθελητῶν ἀγωνισάμενος ἔτι διατελῶν ἐν μονάζουσι, τῷ τῆς ἐν Κωνσταντινουπόλει Ἐκκλησίας κλήρῳ καταλέγεται· εἶτα διάκονος καὶ ὀρφανοτρόφος ἐν ταύτῃ καθίσταται· καὶ μετὰ μικρὸν ἀρχιεπίσκοπος Κρήτης γενόμενος, ἐς ὕστερον ἀγχιστά που πρὸς τῇ λεγομένῃ Ἱερισσῷ καταντήσας ἐν Μιτυλήνῃ, πρὸς Κύριον ἐκδημεῖ, ἀρκούντως τοῦ ἰδίου θρόνου ἐν μεθέξει γενόμενος. Ταῖς αὐτοῦ πρεσβείαις ὁ Θεὸς ἐλέησον ἡμᾶς. (*Εἶτα οἱ Μακαρισμοὶ μετὰ τῶν μετανοιῶν*).

D

Ἦχ. πλ. β'. Στίχ. Ἐν τῇ βασιλείᾳ σου, μνήσθητί μου, Κύριε.

Λῃστὴν τοῦ παραδείσου, Χριστὲ, πολίτην, ἐπὶ σταυροῦ σοι βοῶντα τὸ, « Μνήσθητί μου, » προσεφ-

[h] Luc. XXIII, 42.

COMBEFISII NOTÆ.

(41) *Cum satis multo tempore sedem suam tenuisset.* Ita visum est reddere illud *ὀρκούντως τοῦ ἰδίου θρόνου ἐν μεθέξει γενόμενος*· Grets. ita reddiderat : *Cum sedis suæ fructum copiosum percepisset;* plana phrasis, et qua clare admodum longa satis Andreæ sedes significetur. Edidit episcopus egregium illud quod dedimus suæ sedis patroni Titi encomium; forte etiam aliud Nicolai, qui et ipse celebris in ea insula est, ut et urbi lus nomen indiderit. Potuit eundo Constantinopolim aut redeundo, in ea insula quæ interjacet, ad laborum præmia vocari in cœlum. Locus in ea p culiaris hic notatus mihi obscurus est. Pauca alia vel omissa in versione Grets. restituimus, ut τὸ, κατὰ τὴν παλαιὰν παράδοσιν· τὸ, ὑπερφυοῦς vel minus expressa, novum reddidimus.

γάσω· αὐτοῦ τῆς μετανοίας ἀξίωσον κἀμὲ τὸν ἀνάξιον.

Στιχ. Μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι, ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία.

Τὸν Μανωὲ ἀκούεις πάλαι, ψυχή μου, Θεοῦ ἐν φαντασίᾳ γενόμενον, καὶ τὸν ἐκ στείρας τότε λαβόντα καρπὸν ἐπαγγελίας· αὐτοῦ τὸ εὐσεβὲς μιμησώμεθα.

Στιχ. Μακάριοι οἱ πενθοῦντες, ὅτι αὐτοί.

Τὴν τοῦ Σαμψὼν ζηλώσασα ῥᾳθυμίαν, τὴν δόξαν ἀπεκείρω τῶν ἔργων σου, ψυχή, προδοῦσα τοῖς ἀλλοφύλοις, διὰ φιληδονίας τὴν σώφρονα ζωὴν καὶ μακάριον.

Στιχ. Μακάριοι οἱ πραεῖς, ὅτι αὐτοί.

B Ὁ πρὶν σιαγόνι ὄνου νικήσας τοὺς ἀλλοφύλους, νῦν παρανάλωμα τῆς ἐμπαθοῦς λαγνείας εὑρέθη· ἀλλ' ἔκφυγε, ψυχή μου, τὴν μίμησιν, τὴν πρᾶξιν, τὴν χαύνωσιν.

Στιχ. Μακάριοι οἱ πεινῶντες καὶ διψῶντες.

Βαρὰκ καὶ Ἰεφθάε, οἱ στρατιάρχαι κριταὶ τοῦ Ἰσραὴλ προεκρίθησαν· μεθ' ὧν Δεβόῤῥα ἡ ἀῤῥενόφρων. Αὐτῶν ταῖς ἀριστείαις, ψυχή, ἀῤῥενωθεῖσα κρατύνθητι.

Στιχ. Μακάριοι οἱ ἐλεήμονες, ὅτι αὐτοί.

Τὴν Ἰωὴλ [16] ἀνδρείαν ἔγνως, ψυχή μου, τὴν τὸν Σισάρα πρὶν σκολοπήσασαν, καὶ σωτηρίαν ἐργασαμένην· τὸν πάσσαλον ἀκούεις, δι' οὗ σοι ὁ σταυρὸς εἰκονίζεται.

Στιχ. Μακάριοι οἱ καθαροὶ τῇ καρδίᾳ, ὅτι αὐτοί. C

Θῦσον, ψυχή, θυσίαν ἐπαινουμένην· πρᾶξιν ὡς θυγατέρα προσάγαγε τῆς Ἰεφθάε καθαρωτέραν, καὶ σφάξον, ὥσπερ θῦμα, τὰ πάθη τῆς σαρκὸς τῷ Κυρίῳ σου.

Στιχ. Μακάριοι οἱ εἰρηνοποιοί, ὅτι αὐτοί.

Τοῦ Γεδεὼν τὸν πόκον νόει, ψυχή μου· ἐξ οὐρανοῦ τὴν δρόσον ὑπόδεξαι. Καὶ κῦψον ὥσπερ κύων· καὶ πίε τὸ νᾶμα τὸ ἐκ νόμου ῥυὲν τῇ ἀποθλίψει τοῦ γράμματος.

Στιχ. Μακάριοι οἱ δεδιωγμένοι.

Ἠλεὶ τοῦ ἱερέως τὴν καταδίκην, ψυχή μου, ἀπεσπάσω δι' ἔνδειαν φρενῶν· ἀνασχομένη τὰ πάθη ἐν σοί, ὥσπερ κἀκεῖνος τὰ τέκνα ἐνεργεῖν τὰ παράνομα.

D *Στιχ. Μακάριοί ἐστε ὅταν ὀνειδίσωσιν ἡμῶν.*

Ἐν τοῖς Κριταῖς Λευίτης, δι' ἐμμελείας τὴν ἑαυτοῦ γυναῖκα, ταῖς δώδεκα φυλαῖς διεῖλε, ψυχή μου, ἵνα τὸ μῦσος θριαμβεύσῃ τὸ ἐκ Βενιαμὶν, τὸ παράνομον.

A etiam mihi indigno, ejus pœnitentiam concedere digneris.

Vers. Beati pauperes spiritu, quoniam ipsorum est regnum [i], etc.

Audis, o anima mea, ut Deum olim Manue viderit [j], usque tunc repromissionis fructum ab sterili acceperit; ejus nos pietatem imitemur.

Vers. Beati qui lugent, quoniam ipsi, etc.

Imitata, o anima, Samsonis ignaviam [k], operum tuorum gloriam detonsa amisisti: vita sobria et beata, ob studium voluptatis, alienigenis tradita.

Vers. Beati mites, quoniam ipsi, etc.

Qui ante maxilla asini alienigenas vicisset [l], nunc male libidinis esca inutilis ac ceu condimentum inventus est:-Cave vero, o anima, imiteris, ita agas, sic molliaris.

Vers. Beati qui esuriunt et sitiunt, etc.

Barac et Jephte [m] prælati sunt judices Israel: quos excepit virago illa Debora. Tu, anima, egregie per eos gestis roborata, firmare.

Vers. Beati misericordes, quoniam ipsi, etc.

Nosti, o anima mea, Jaelis illius fortitudinem [n], quæ olim Sisaram palo transfixit, ac fecit salutem? Audis palum, quo tibi ceu in imagine crux exhibetur?

Vers. Beati mundo corde, quoniam ipsi, etc.

Sacrifica, o anima, laudabile sacrificium; offer actionem filiæ instar, mundioris illa Jephte [o], ac velut victimam, immola Deo tuo carnis affectiones.

Vers. Beati pacifici, quoniam ipsi, etc.

Cogita, o anima mea, vellus Gedeonis [p]: suscipe rorem de cœlo: te ut canis inclina (42), ac bibe fluentem a lege, pressa littera, laticem.

Vers. Beati qui persecutionem patiuntur, etc.

Heli sacerdotis [q] damnationem illam, o anima mea, præ mentis inopia, ascivisti: quæ passa sis, ut affectiones, iniqua in te; quemadmodum ipse ut filii, perpetrarent.

Vers. Beati eritis cum exprobraverint vobis.

Scite Levites, ut est Judic. libro [r], o anima mea, uxorem suam, in duodecim tribus membratim divisit, ut nefarium Benjamitarum scelus traduceret.

[i] Matth. v, 3. [j] Judic. xiii, 7, 22. [k] Judic. xvi, 20. [l] Judic. xv, 15. [m] Judic. iv, 5; xi, 1. [n] Judic. iv, 17. [o] Judic. xi, 34. [p] Judic. vii, 5. [q] I Reg. ii, 12. [r] Judic. xix, 29.

VARIÆ LECTIONES.

[16] Ἰαήλ.

COMBEFISII NOTÆ.

(42) *Te ut canis inclina.* Quod nimirum profusio in spiritalibus ad quæ hortatur, non imbellem arguant animum, sed generosum, et qui sit aptus prœliis Domini; pulchra piaque allusio.

Vers. Gaudete et exsultate, quia merces vestra.

Orans sapiens Anna [s], labia quidem ad laudem movebat; at vox ejus haudquaquam foris sonabat; ipsa nihilominus sterilis, dignum precibus filium partu edit.

Vers. Memento nostri, Domine, cum veneris.

Annæ proles, magnus Samuel, quem Armathæa illa educavit in domo Domini, judicibus accensus, judex fuit [t]; eum tu, anima mea, æmulare; tuaque ipsius opera, ante alios, judica.

Vers. Memento nostri tu, here, cum veneris.

Electus David in regem, divini olei cornu, more regio unctus est [u]: age ergo, anima mea, si cupis regnum cœleste, velut unguento lacrymis ungere.

Vers. Memento nostri, sancte, cum, etc.

Tu misericors, miserere figmenti tui: miserare opus manuum tuarum, ac parce peccatoribus omnibus; mihique cum primis, qui præ omnibus tua mandata despexi.

Gloria Patri, et Filio, et Spiritui sancto.

Ingenito (43), Natoque, et Procedenti: Patrem adoro qui genuit: glorifico Filium qui genitus est: pari claritate cum Patre et Filio Spiritum sanctum, canticis celebro.

In Deipar.

Divinum tuum Filium adoramus; non dividentes, o Dei Genitrix, quam ex te natus infans natura gloriam habet. Quippe unum persona, duplicem naturis confitemur.

Ode 7. Hirmus.

« Peccavimus; inique egimus; injuste fecimus [v] » coram te, nec servavimus, autve fecimus, quemadmodum nobis mandasti: verum ne nos, tu Deus patrum, tradideris in finem.

Peccavi, inique egi, ac mandatum tuum violavi: quippe natus sum in peccatis, addidique vulnus livoribus meis: verum tu velut misericors, qui patrum es Deus, miserere.

Occulta cordis mei tibi meo judici annuntiavi; vide humilitatem meam; vide et meam afflictionem, ac intende judicio meo; meique ipse ut misericors, qui es Deus patrum, miserere [x].

Cum olim Saul, o anima, patris sui asinas amisisset [y]; accessione ad oraculum (44), ceu aliud agens, regnum invenit: vide autem, ne nescia, brutas tuas cupiditates præferas regno Christi.

A *Στιχ. Χαίρετε καὶ ἀγαλλιᾶσθε ὅτι ὁ μισθὸς ἡμῶν*

Ἡ φιλοσώφρων Ἄννα προσευχομένη, τὰ χείλη μὲ ἐκίνει πρὸς αἴνεσιν· φωνὴ δὲ ταύτης οὐκ ἐξηχεῖτο ἀλλ' ὅμως στεῖρα οὖσα, υἱὸν τῆς προσευχῆς τίκτει ἄξιον.

Στιχ. Μνήσθητι ἡμῶν, Κύριε, ὅταν ἔλθῃς.

Ἐν τοῖς Κριταῖς, ὁ Ἄννης ἐκρίθη γόνος, ὁ μέγας Σαμουὴλ, ὃν ἐθρέψατο ἡ Ἀρμαθαὶμ ἐν οἴκῳ Κυρίου· αὐτὸν ζήλου, ψυχή μου, καὶ κρῖναι πρὸ τῶν ἄλλων τὰ ἔργα σου.

Στιχ. Μνήσθητι ἡμῶν, Δέσποτα, ὅταν ἔλθῃς.

Δαβὶδ εἰς βασιλέα ἐκλελεγμένος, βασιλικῶς ἐχρίσθη τῷ κέρατι τοῦ θείου μύρου· σὺ οὖν, ψυχή μου, τὴν ἄνω βασιλείαν εἰ θέλεις, μύρῳ χρῖσαι τοῖς δάκρυσιν.

B *Στιχ. Μνήσθητι ἡμῶν, ἅγιε, ὅταν.*

Ἐλέησον τὸ πλάσμα σου, ἐλεῆμον· οἴκτειρον τῶν χειρῶν σου τὸ ποίημα, καὶ φεῖσαι πάντων ἡμαρτηκότων, κἀμοῦ τοῦ ὑπὲρ πάντας τοῖς σοῖς ὑπεριδόντος προστάγμασιν.

Δόξα Πατρὶ, καὶ Υἱῷ, καὶ ἁγίῳ Πνεύματι.

Ἀνάρχῳ, καὶ Γεννηθέντι, καὶ Προόδῳ. Πατέρα προσκυνῶ τὸν γεννήσαντα· καὶ Υἱὸν δοξάζω τὸν γεννηθέντα· ὑμνῶ τὸ συνεκλάμπον Πατρί τε καὶ Υἱῷ, τὸ Πνεῦμα ἅγιον.

Θεοτόκ.

Τὸν ὑπὲρ φύσιν Τόκον σου προσκυνοῦμεν· τὴν κατὰ φύσιν δόξαν τοῦ βρέφους σου μὴ διαιροῦντες, Θεογεννῆτορ. Ὁ εἷς γὰρ τῷ προσώπῳ, διττὸς ὁμο- C λογεῖται ταῖς φύσεσιν.

Ὠδὴ ζʹ. Ὁ Εἱρμός.

« Ἡμάρτομεν· ἠνομήσαμεν· ἠδικήσαμεν » ἐνώπιόν σου, οὐδὲ συνετηρήσαμεν, οὐδὲ ἐποιήσαμεν, καθὼς ἐνετείλω ἡμῖν· ἀλλὰ μὴ παραδῴης ἡμᾶς εἰς τέλος, ὁ τῶν πατέρων Θεός.

Ἡμάρτηκα, ἐπλημμέλησα, καὶ ἠθέτησα τὴν ἐντολήν σου· ὅτι ἐν ἁμαρτίαις προήχθην, καὶ προσέθηκα τοῖς μώλωψι τραῦμα ἐμοί· ἀλλ' αὐτὸς ἐλέησον ὡς εὔσπλαγχνος, ὁ τῶν πατέρων Θεός.

Quo igitur modo ex his quinque cognoscit Deus seipsum? cognoscere seipsum e se scilicet non potest: hoc enim datum est, alium esse qui cognoscit, et alium qui cognoscitur. Nec ex vestigio aliquo; quæ enim facta sunt, multo sunt inferiora: neque per speculum, nec alio ex quatuor modis; necesse igitur est esse aliquem per omnia similem, id est, *homousion*, et coæternum Deo, ex quo cognoscat seipsum, ne reliquum sit ignorare **367** seipsum: videns enim Deus Filium suum sibi per omnia similem, se ipse in illo videt, ipse enim Filius est imago Dei invisibilis, et figura substantiæ ejus.

B. Ἔστω δὴ, τὸν Θεὸν ἔχειν τινὰ συναΐδιον, ὅμοιον, ὅπως ἑαυτὸν ἀπ' ἐκείνου γινώσκοι. Πόθεν ἀποδείξεις ὅτι υἱός ἐστιν;

B. Esto, habeat Deus aliquem coæternum similem, ut ex illo se ipse cognoscat. Unde demonstrabis filium esse?

A. Ἔοικεν τοῖς τῆς δικαιοσύνης ἐρασταῖς τῷ αὐτῷ μέτρῳ καὶ ζυγῷ, ᾧ μετροῦνταί τε καὶ σταθμῶνται, ἀντιμετρεῖν τε καὶ ἀντισταθμίζειν. Εἰ γὰρ εἴην εἰληφὼς παρὰ σοῦ χρυσίνους ἑκατὸν, ἐθέλοιμι δέ σοι τούτους ἀποδοῦναι, τῷ ζυγῷ, ᾧ σταθμισάμενος εἴληφα, ἐκείνῳ καὶ σὺ παρ' ἐμοῦ οὐχ ἑτέρῳ ἀπολαβεῖν ὀφείλεις. Στάθμιον γὰρ μικρὸν, καὶ μέγα ἐμίσησεν ἡ ψυχή μου, φησὶν ὁ Θεός. Πόθεν ἐπιστάμεθα, ὅτι ἔστιν Θεὸς, καὶ τὰ τοῦ Θεοῦ ἰδιώματα; οὐχὶ ἐκ τῶν παρ' ἡμῖν; Εἰ γὰρ αὐτὸν οὐχ ἑωράκαμεν πώποτε, οὐδ' ἐκ τῶν αὐτοῦ ποιημάτων αὐτὸν καταλαμβανόμεθα, ἀνάγκη πᾶσα ἐν παντελεῖ διαρκεῖν ἡμᾶς ἀγνωσίᾳ τοῦ Θεοῦ. Ἐκ τῶν οὖν παρ' ἡμῖν τιμιωτέρων τὸν Θεὸν διαγράφομεν, τὰ ἡμῖν ἐπισυμβαίνοντα συμπτώματα παντελῶς ὑπεξαιροῦντες ἀπὸ τῶν ὑπὸ Θεοῦ λεγομένων. Οἷόν ἐστι παρ' ἡμῖν ζωὴ, καὶ θάνατος. Τίνι πρέπει ἡμῖν τὸν Θεὸν χαρακτηρίσαι, τῇ ζωῇ, ἢ τῷ θανάτῳ;

A. Decet justitiæ amatores eadem mensura et lance, qua metiuntur et ponderant, remetiri et rependere. Si enim a te accepissem centum aureos nummos, vellemque hos tibi reddere, ea lance qua appensos accepi, et non alia, a me recipere debes. Pondus enim parvum et magnum odivit anima mea [d*], ait Deus. Unde scimus, si Deus est, ejusque proprietates? annon ex iis quæ apud nos sunt? Etenim si nunquam eum vidimus, nec ex creaturis ejus eum cognoscimus, necesse omnino est nos Deum ignorare. Igitur ex iis, quæ apud nos sunt nobiliora, Deum describimus, eas penitus quæ nobis accidunt aberrationes eximentes e numero eorum quæ de Deo dicuntur. Verbi gratia, apud nos est vita et mors: quo decet nos signare Deum, vita, an morte?

B. Δηλονότι τῇ ζωῇ.

B. Vita scilicet.

A. Λέγομεν οὖν, ὅτι ὁ Θεὸς ζωὴ, καὶ ζῶν ἐστιν. Ἀλλ' ἐπειδὴ παρ' ἡμῖν ἡ ζωὴ καὶ ἀρχὴν ἔχει, καὶ τέλος, καὶ ἐνδεής ἐστι· χρῄζει γὰρ τῆς ἔξωθεν ἐπιῤῥοῆς, βρώσεώς τε, καὶ πόσεως, καὶ τῆς τοῦ ἀέρος ἀναπνοῆς, καὶ τῶν τοιούτων, ἐξ ὧν ἡ σύστασις τῆς ἡμετέρας ζωῆς. Ταῦτα πάντα τὰ συμπτώματα, καὶ ἐλαττώματα κάτω θέντες, καὶ ἀφελόντες, λέγομεν, τὸν Θεὸν ζῆν ζωὴν, καὶ τοιαύτην ζωὴν, τὴν μήτε ἀρχὴν μήτε τέλος ἔχουσαν, μήτε τινὸς παντελῶς τῶν ἔξωθεν χρῄζουσαν. Ἢ οὐχ οὕτως ἔχειν σοι δοκεῖ;

A. Dicimus igitur Deum vivere, et viventem esse. Sed quia apud nos vita et principium habet et finem, et indiget; indiget enim iis quæ extrinsecus influunt, ut cibo, et potu, et respiratione aeris, et aliis hujusmodi, ex quibus vita nostra constat. His omnibus, quæ accidunt, sepositis ac remotis, dicimus Deum vivere vitam quæ neque principium habet neque finem, nec ulla prorsus re extrinsecus indiget. Annon videtur tibi sic esse?

B. Καὶ πάνυ θαυμασίως, καὶ εὐστοχώτατα ἐκ τῶν

B. Admirabiliter, et quam optime conjici potest,

[d*] Prov. xx, 10.

Deum describis, neque potes aliunde cognosci, A nec aliter possumus de eo loqui.

A. Ad eumdem modum, amice, debes intelligere de reliquis. Est apud nos aspectus et cæcitas. Relicta cæcitate, Deum dicimus videntem ἀπαθῶς, id est, non patiendo, id est, removentes ab eo passiones visionis. Est enim Deus in omnibus ἀπαθής, id est alienus a passione. Similiter auditus et
368 surditas est apud nos. Deum dicemus audientem, et non surdum. Similiter in reliquis.

B. Pulchre et demonstranter dixisti. Eadem lance, justissime, quæ consectaria sunt in hoc sermone, redde mihi.

A. Quid apud nos est illustrius, ac majoris dignitatis, fecunditas, an infecunditas? generatio, B an sterilitas? Si enim hoc contendis, et injustus sis, ego etiam contendam mortem esse vita meliorem, et cæcitatem ac surditatem aspectu et auditu honoratiora : ecquid ista contentione absurdius, et magis ridendum esse possit?

B. Sane demonstrasti Deum esse fecundum et generantem, idque esse citra ullam controversiam nobilius : gignere enim præstantius est quam sterilem et infrugiferum esse. At generationem sequuntur passiones.

A. Bone et sapiens vir, jam prius constituimus habere Deum nobilissima eorum quæ apud nos sunt absque iis quæ consequuntur, quæ παθήματα et συμπτώματα dicuntur.

B. Et satis, et plane, ac vere de hoc tractasti, C quod Deus sit, et Filium habeat. Sed quare non multos genuit, ut per plures princeps et regnator esset?

A. Quia oporteret ut unum ex tribus fieret, aut genuisse infinitos, et in sæculum sæculi, et perpetuo; aut certo numero, verbi gratia, centum aut unum. Si infinitos genuisset, et perpetuo, nunquam quiesceret ejus desiderium, neque ejus voluntas unquam impleta esset. Sin vero certos et finitos, ut centum, generasset, qua de causa hoc faceret? profecto quia unus non satis esset ad implendum omne desiderium ejus, omnemque voluntatem. Idcirco enim opus esset pluribus. Quod quidem si dederimus, sequitur imperfectum D et indigentem esse Filium, neque sibi sufficere. Quod si Filius sit indigens, est autem æqualis et similis Patri, ut demonstratum est, erit igitur etiam Deus Pater imperfectus, et indigens (sed propitius sis mihi, Domine), et non per se sufficiens, quod quidem absurdum est. Sin vero perfectus est Filius sicut Pater, non opus est aliis. Dic mihi, nonne tibi ita videtur?

B. Sane quidem.

A, Age : reliqua animalia suntne rationis et liberi arbitrii expertia?

A παρ' ἡμῖν τὸν Θεὸν διαγράφεις, καὶ οὐκ ἔστιν αὐτὸν ἄλλοθεν εἰδέναι, ἢ ἄλλως εἰπεῖν.

A. Οὕτως, ὦ φίλος, ἐπὶ τῶν λοιπῶν μοι νόει [23]. Ἔστι παρ' ἡμῖν ὅρασις, καὶ τύφλωσις. Τὴν τύφλωσιν ἀφέντες, τὸν Θεὸν λέγομεν ὁρατικὸν ἀπαθῶς, ἤτοι, τὰ τῆς ὁράσεως ἐξορίζοντες πάθη ἀπ' αὐτοῦ. Ἐν πᾶσι γάρ ἐστιν ὁ Θεὸς ἀπαθής. Ὡσαύτως ἀκοὴ καὶ κώφωσις παρ' ἡμῖν. Ἀκουστικὸν, οὐ κωφὸν ἐροῦμεν τὸν Θεόν. Ὡσαύτως δὲ, καὶ τὰ λοιπά [24].

B. Πάνυ γε καλῶς καὶ ἀποδέκτως εἴρηκας. Τῷ αὐτῷ οὖν ζυγῷ, ὦ δικαιότατε, τὴν τοῦ λόγου ἀκολουθίαν ἀνταπόδος μοι.

A. Τί παρ' ἡμῖν τιμαλφέστερον, τὸ γόνιμον, ἢ τὸ B ἄγονον; γένεσις, ἢ στείρωσις; εἰ γὰρ ἐν τούτῳ φιλονεικοίης, καὶ ἀδικοίης, φιλονεικήσω κἀγὼ, ὅτι καὶ ὁ θάνατος τῆς ζωῆς κρείσσων, καὶ ἡ τύφλωσις, καὶ ἡ κώφωσις τῆς ὁράσεως καὶ ἀκοῆς τιμιωτέρα. Καὶ τί ἂν τῆσδε τῆς φιλονεικίας ἐκτοπώτερόν τε, ἢ καταγελαστότερον;

B. Ὄντως ἀπέδειξας ὅτι γόνιμος ὁ Θεὸς, καὶ γεννητικός· πάσης γὰρ ἀντιλογίας ἀργούσης τιμιώτερον τὸ γεννᾷν τῆς στειρώσεως καὶ ἀκαρπίας. Ἀλλὰ τῇ γεννήσει παρέπεται πάθη.

A. Ἀλλ', ἀγαθὲ καὶ σοφὲ, προδιεστειλάμεθα τὸ Θεῖον κεκτῆσθαι τὰ παρ' ἡμῖν τιμιώτατα, ἄνευ τῆς ἐπακολουθούσης αὐτοῖς τῶν παθημάτων καὶ συμπτωμάτων συμβάσεως.

C B. Ἀρκούντως περὶ τούτου, καὶ σαφῶς, καὶ ἀληθῶς διεξῆλθες, ὅτι Θεός ἐστι, καὶ Υἱὸν ἔχει. Ἀλλὰ διὰ τί μὴ πλείους ὁ Θεὸς ἐγέννησεν, ἵνα πλειόνων ἄρχῃ, καὶ βασιλεύῃ;

A. Ἐπειδὴ ἀνάγκη ἓν τῶν τριῶν τούτων γενέσθαι· ἢ ἀπείρους γεννῆσαι, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος, καὶ ἀτελευτήτως, ἢ ὡρισμένον ἀριθμὸν, ἤτοι ἑκατὸν, ἢ ἕνα, φέρε εἰπεῖν. Εἰ μὲν οὖν ἀπείρους καὶ ἀναριθμήτους ἐγέννησεν, καὶ εἰς τὸ διηνεκὲς ἐγέννα, οὐκ ἂν αὐτοῦ ἡ ἔφεσίς ἐστι, οὔτε ἡ εὐδοκία αὐτοῦ ποτε ἐπληροῦτο. Εἰ δὲ ὡρισμένους τινὰς, οἷον ἑκατὸν, ἐγέννησεν, ὅτου χάριν ἐποίει τοῦτο; πάντως ὡς μὴ οὐχὶ τοῦ ἑνὸς ἐπαρκοῦντος πᾶσαν αὐτοῦ πληρῶσαι τὴν εὐδοκίαν καὶ ἔφεσιν. Διὰ τοῦτο γὰρ τῶν πλειόνων D ἡ χρεία. Εἰ δὲ τοῦτο δοίημεν, ἀτελὴς ἂν, καὶ ἐνδεὴς, καὶ οὐκ αὐτάρκης ὁ Υἱός. Εἰ δὲ ὁ Υἱὸς ἐνδεὴς, ἴσος δὲ καὶ ὅμοιος τῷ Πατρὶ πέφυκεν εἶναι ἀποδέδεικται, ἔσται ἄρα καὶ ὁ Θεὸς, καὶ Πατὴρ ἀτελής τε καὶ ἐνδεὴς (ἵλεως γένοιο, Κύριε), καὶ οὐκ αὐτάρκης, ὅπερ ἄτοπον. Εἰ δὲ τέλειός ἐστιν ὁ Υἱὸς, καὶ ὁ Πατὴρ, οὐκ ἔστιν ἑτέρων χρεία. Εἰπέ μοι, οὐχὶ φής;

B. Ναί.

A. Τὰ δὲ λοιπὰ ζῶα, λόγου τε καὶ αὐτεξουσιότητος ἄμοιρα;

VARIÆ LECTIONES.

[23] Turrian. legit, ὀφείλεις ἐπὶ τῶν λοιπῶν μοι νοεῖν. [24] Desideratur in versione Turriani.

B. Οὕτως ἔχει.

A. Εἰ οὖν ὁ Θεὸς ἠβουλήθη πρὸς ἡμᾶς, ἤγουν εἰς τὸν κόσμον ἀπόστολόν τινα πέμψαι, ποίου τάγματος ἀποστέλλειν ἔμελλε, ἐξ ἀγγέλων πάντως, ἢ ἀνθρώπων; οὐ γὰρ ἐκ τῶν ἀλόγων ζώων.

B. Οὕτως ἔχει.

A. Αὐτεξουσίων οὖν ὄντων, ἐν τῷ ἀποστελλομένῳ ἦν ὑπακοῦσαι τοῦ Θεοῦ, ἢ μὴ ὑπακοῦσαι εἰς τὴν ἀποστολὴν, καὶ εἰπεῖν, ὡς ἐκελεύσθη, παρατρέψαι τινὰ [24], ἢ οὔ; Οἶσθα, ὅτι καὶ Μωσῆς, καὶ Ἱερεμίας, καὶ ἕτεροι ἀποστελλόμενοι παρὰ τοῦ Θεοῦ, τὰ πρῶτα παρῃτοῦντο, καὶ ἀνένευον, καὶ δέει τῆς λειτουργίας, ἢ ἑτέρῳ πάθει κρατούμενοι προεφασίζοντο, μέχρις ἂν αὐτὸς ὁ Θεὸς πλείοσι λόγοις, καὶ παραινέσεσιν ἀνέπειθεν. Εἰ δὲ καὶ ἕως τέλους εἵλοντο διαρκέσαι ἐπ' αὐτοῖς, ὡς μὴ αὐτεξουσίοις ἔκειτο τοῦτο.

B. Οὕτως ἔχει.

A. Ὁ δὲ Ἰωνᾶς καὶ φυγῇ ἐχρήσατο ἀπὸ προσώπου Κυρίου, εἰς Θαρσεῖς ἀποσταλεὶς παρ' αὐτοῦ εἰς Νηνευΐ.

B. Οὕτως ἀναγινώσκομεν.

A. Εἰ τοίνυν ἀποστελλόμενοι ἢ παρῃτοῦντο τὴν ἀποστολὴν, ἢ ἀνθ' ἑτέρων ἀπήγγελλον ἕτερα, ἀνάγκη πᾶσα τῶν δύο τὸ ἕτερον ἦν γενέσθαι, ἢ τὴν τοῦ Θεοῦ βουλὴν ἀργῆσαι τὸ μὴ εὑρίσκειν ἀπόστολον, ἢ αὐτὸν ἀπαναστάντα τοῦ βασιλικοῦ θρόνου ἀπόστολον ἑαυτοῦ, καὶ αὐτάγγελον χρηματίσαι, καὶ διάκονον τῆς ἑαυτοῦ βουλῆς, καὶ αὐτουργὸν, καὶ ὑπηρέτην, ὅπερ, ὡς ἀπέδειξεν ὁ λόγος, ἀλλότριον πάντη καὶ ἀπεξενωμένον τοῦ βασιλικοῦ ἀξιώματος, τὸ δι' ἑαυτοῦ αὐτουργικῶς περαιοῦντα τῶν οἰκείων βουλημάτων τε καὶ προσταγμάτων, ἀποστεῖλαι δὲ πρὸς ἡμᾶς τι τῶν ἀλόγων ζώων, καὶ τὸ λέγειν ἠλίθιον. Οὐκοῦν ἀνάγκη πᾶσα τὸν Θεὸν ἔχειν τινὰ ὁμοούσιον ἑαυτοῦ τὸ αὐτεξούσιον ἔχοντα, καὶ τὸ θέλημα, οὐ παρηλλαγμένον, καὶ ἀπᾷδον παντελῶς τῆς ἰδίας βουλήσεως, εἰς ἐκπλήρωσιν τῶν θείων αὐτοῦ ἐφέσεων, ὅς ἐστιν ὁ Υἱὸς συναΐδιος, καὶ ταυτοτελὴς, καὶ ὁμόβουλος, ὁ καὶ ἐν ταῖς Γραφαῖς τῆς μεγάλης βουλῆς καλούμενος Ἄγγελος, [25] καὶ τοῖς πρώην χρηματίσας Πατράσιν Ἀβραάμ τε, καὶ Ἰσαὰκ, καὶ Ἰακὼβ, καὶ Μωϋσῇ, καὶ τοῖς λοιποῖς, ὡς καὶ ἐκ τῶν ἁγίων Γραφῶν ἀκριβέστερον ἐντυγχάνων μαθήσῃ.

B. Τί δὲ εἰπεῖν ἔχεις περὶ τοῦ Πνεύματος; τίς τούτου χρεία ἦν, αὐτάρχους ὄντος τοῦ Υἱοῦ, ὡς εἴρηκας, εἰς τελείωσιν τῆς ἀρχῆς, καὶ τῆς βασιλείας τοῦ Πατρός;

A. Ἰδίωμά ἐστιν τῆς ἐννομωτάτης βασιλείας, τὸ μηδὲν δήποτε δι' ἑαυτοῦ τὸν βασιλέα ποιεῖν· ἀλλὰ, τὰ δοκοῦντα αὐτῷ διὰ κελεύσεως πληροῦν. Εἰ γάρ τι δι' ἑαυτοῦ ποιήσει, ἐλάττωμα, καὶ ὕφεσις, καὶ κατάπτωσίς ἐστι τῆς βασιλείας, καὶ οὐ βασιλικόν. Διὸ μεσιτεύει ὁ Υἱός. Πάλιν τῶν ἀναγκαιοτάτων, καὶ συμπληρωτικῶν τῆς βασιλείας ἐστὶ τὸ ἔχειν πλοῦτον ἀπέραντον, καὶ ἀδαπάνητον, καὶ θησαυροὺς, καὶ τα-

B. Sic est.

A. Si igitur voluisset Deus mittere ad nos, ad mundum, inquam, nuntium, **369** ex quo ordine missurus erat? ex angelis, aut ex hominibus? non enim ex animantibus ratione carentibus.

B. Ita est.

A. Cum igitur hi essent suæ voluntatis compotes, in potestate ejus qui mitteretur erat obedire aut non obedire mittenti; item dicere ut ei jussum esset, aut aliqua invertere. An ignoras Moysen, et Jeremiam, et alios a Deo missos recusasse, et detrectasse, ac metu ministerii obeundi, aut alia affectione captos excusasse, quousque Deus multis verbis et hortationibus eis suasit? quid si usque ad finem voluissent perseverare? penes eos tanquam libero arbitrio præditos erat hoc.

B. Sic est.

A. Jonas autem fugit a facie Domini in Tharsis, cum ab eo missus est Niniveın.

B. Sic legimus.

A. Si igitur qui mitterentur, aut recusarent missionem, aut alia pro aliis nuntiarent, alterum duorum omnino fieri necesse erat, aut vacare, ac frustra esse consilium Dei; quia non inveniretur nuntius, aut ipsum a regali solio discedentem fieri sibi nuntium, et αὐτάγγελον vocari, et sui consilii administrum, et per se confectorem et famulum, quod quidem, ut ratio demonstravit, alienum omnino et extraneum a regali dignitate erat, per se ipsum ministrantem sermones facere apud nos de nostris voluntatibus et rebus. Mittere autem ad nos aliquid animalium ratione carentium, vel hoc ipsum dicere, mortiferum [stolidum] est. Quare necesse omnino erat ut Deus haberet aliquem homousion, id est, suæ essentiæ, qui liberum arbitrium haberet, et voluntatem penitus a sua voluntate non dissidentem, neque discordantem ad explendum omnia sua desideria, qui est Filius ejus, coæternus, et per se perfectus, et ejusdem consilii, qui in sanctis Scripturis vocatur magni consilii Angelus [a].

B. Quid habes ad dicendum de Spiritu sancto? quid hoc opus est? Cum satis sit Filius, ut dixisti, ad perfectionem principatus, et regni Patris?

A. Proprietas regni optime legibus instituti est ut nihil, qualecunque sit, per se faciat rex, sed quæ ei videantur, jubendo perficiat. Si quid enim per se faciat, imminutio est et dejectio, et regni depressio, et non dignitatis regiæ. Quamobrem **370** Filius est medius. Rursus valde necessarium est, et quod regnum complet, habere infinitas divitias, et quæ consumi nequeant, et thesauros, ac

[a] Isa. IX, 6 sec. LXX

VARIÆ LECTIONES.

[24] Aliter hic distinctus est codex Turr. [25] Hæc desunt in versione Turriani.

A ταύτῃ τῇ πέτρᾳ οἰκοδομήσω μου τὴν Ἐκκλησίαν, καὶ πύλαι ᾅδου οὐ κατισχύσουσί σε. » Τοῦτον δὲ τὸν λόγον ὁ Κύριος ἔφησε τῷ Πέτρῳ, ἡνίκα Πέτρος [πρὸς] τὸν Κύριον, ἑαυτὸν Υἱὸν ἀνθρώπου κεκληκότα, εἴρηκεν· « Σὺ εἶ ὁ Χριστὸς ὁ Υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος. » Καὶ συνήχθησαν ἐπὶ τοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν ἀμφότεροι οἱ λόγοι, καὶ πεπίστωται, ὅτι Θεός ἐστι καὶ ἄνθρωπος. Χρὴ τοίνυν, ἀγαπητοὶ, πάντα τὸν Χριστιανισμὸν οἰκειούμενον τὴν ἑαυτοῦ δοκιμάζειν, καὶ διασκέπτεσθαι πίστιν· καὶ εἰ μὲν βεβαιοῦσαν αὐτὴν εὕροι, Χριστὸν εἶναι Θεόν τε καὶ ἄνθρωπον, ὀφείλει στέργειν, καὶ ἀντέχεσθαι, καὶ ὑπερμαχεῖν αὐτῆς, ἄχρις ἀποβιώσεως. Εἰ δὲ καὶ ἐκβαίη τὸ πέρας εἰς ἄλλο, δεῖ μυσάττεσθαι, καὶ φεύγειν, καὶ ἀπεχθάνεσθαι, τήν τε τραχύτητα, καὶ τὴν πρὸς τοὺς προγόνους, ἀφ' ὧν ἐκείνην τὴν πίστιν ἐκληρονόμησεν, ἐξορίζειν τῆς B ἑαυτοῦ καρδίας, καὶ τὴν προσπάθειαν, οἷόν φησιν ὁ Δαυῒδ· « Ἄκουσον, θύγατερ, καὶ ἴδε, καὶ κλῖνον τὸ οὖς σου, καὶ ἐπιλάθου τοῦ λαοῦ σου, καὶ τοῦ οἴκου τοῦ πατρός σου· καὶ ἐπιθυμήσει ὁ βασιλεὺς τοῦ κάλλους σου. » Τηνικαῦτα γὰρ ὁ ἄνθρωπος τὸ ὄντως ἐφετὸν ἐπισπᾶται κάλλος πρὸς Χριστοῦ ἀληθινοῦ νυμφίου τοῦ τῶν βασιλευόντων βασιλέως, ἡνίκα τὴν πρὸς τοὺς πατέρας προσπάθειαν ἀποῤῥίψειεν, καὶ τὴν εἰς τὸ διαρκεῖν ἐν τοῖς ἀπ' ἐκείνων παραδεδομένοις πλησμονὴν ἀποτινάξειεν. Ἐπεὶ οὖν, ὦ οὗτοι, οὕτως ἔχει ταῦτα, δεῦρο πάντες ἀμφότεροι προσδράμωμεν, τῇ προειρημένῃ πίστει τῆς ἀκλινοῦς ταύτης πέτρας τοῦ τῶν ἀποστόλων προηγήτορος, καὶ πιστεύσωμεν τὸν Χριστὸν εἶναι Θεόν τε καὶ C ἄνθρωπον.

Ἰστέον δὲ, ὅτι ἐπειδὴ ὁ αὐτὸς ὑπάρχει Θεός τε καὶ ἄνθρωπος, μία πάντως ἐστὶν ὑπόστασις· καὶ Θεὸς ὢν, καὶ ἄνθρωπος, δύο φύσεις ἔχει, θείαν τε καὶ ἀνθρωπίνην· διὰ δὲ τὸ κυρίως εἶναι Θεὸς, τὸ μὴ οὐχὶ θείαν ἐσχηκὼς φύσιν ἀδύνατον, καὶ ἀληθῶς ἄνθρωπος εἶναι, τὸ μὴ πεφυκὼς ἔχειν ἀνθρωπίνην φύσιν, ἀδύνατον. Ἔστι δὲ αὕτη ἡ μία ὑπόστασις αὐτὸς ὁ προαιώνιος Υἱὸς, ὁ πρὸ πάντων τῶν αἰώνων ἐκ Πατρὸς ἀχρόνως καὶ ἀπαθῶς γεγεννημένος, ὅς ἐστι Θεὸς, ἴσος τῷ Πατρὶ, κατὰ τὴν ἀϊδιότητα τὴν πατρικὴν οὐσίαν ἀϊδίως ἔχων· ἐπ' ἐσχάτων δὲ τῶν ἡμερῶν ἐκ Πνεύματος ἁγίου, καὶ Μαρίας τῆς Παρθένου, ἐσαρκώθη, καὶ ἐνηνθρώπησεν οὗτος ὁ ἀΐδιος Υἱὸς ἀτρέπτως, καὶ ἀναλλοιώτως γεγονὼς, ὡς εἷς τῶν ἀνθρώπων κατὰ D πάντα, δίχα τῆς ἁμαρτίας, προσειληφὼς τὴν ἡμετέραν, ἣν οὐκ εἶχε, φύσιν, μεμενηκυίας αὐτῷ τῆς θείας, ἣν ἀϊδίως προεῖχε, φύσεως. Οὗτος ὁ ἀΐδιος Υἱὸς μετὰ τὴν ἑαυτοῦ σάρκωσιν, Θεὸς ὁ αὐτός ἐστι καὶ ἄνθρωπος, μία ὑπάρχων τῆς Τριάδος ὑπόστασις, τὴν τοῦ Πατρὸς καὶ τοῦ ἁγίου Πνεύματος φύσιν ἔχων, καὶ τὴν ἡμετέραν ἀνθρωπείαν φύσιν, τῆς Τριάδος προσθήκην οὐκ εἰσδεξαμένης. Καὶ γὰρ, ὦ βέλτιστοι, σαφῶς ἐπ' αὐτῆς τῆς ἀληθείας τῶνδε τῶν ἡμῖν εἰρημένων, ὅτι ἡ Τριὰς οὐ προσείληφεν αὔξησιν· ἐπειδήπερ οὐδὲ φαμεν μίαν ὑπόστασιν, ἥτις ἐστὶ Θεὸς, ταύτην ἐροῦμεν ὑπάρχειν ἄνθρωπον, οὐχ ἄλλην ὑπόστασιν.

hanc petram ædificabo Ecclesiam meam, et portæ inferi non prævalebunt adversus eam [f]. » Hæc verba dixit Dominus Petro, cum Petrus Domino, qui se appellaverat Filium hominis, dixit : « Tu es Christus Filius Dei vivi [f*]; » et copulata sunt in Christo Domino nostro utraque verba, et confirmatum quod esset Deus et homo. Oportet igitur, charissimi, ut quicunque Christianam religionem amplectitur, fidem suam probet, et consideret, et si quidem eam reperiat affirmare Christum esse Deum et hominem, debet eam complecti et retinere, ac pro ea usque ad mortem pugnare. Sin autem ad aliud quid declinet, debet abominari, et fugere, et odio prosequi, et duritiam fidei, et majores, a quibus illam, tanquam hæreditatem accepit, ejicere ex corde suo, et illam affectionem, quam David ait, cum dicit : « Audi, filia, et vide, et inclina aurem tuam, et obliviscere populi tui, et domus patris tui, et concupiscet rex pulchritudinem tuam [g]. » Tunc enim homo pulchritudinem vere concupiscendam haurit et elicit a Christo vero sponso, et rege regum, quando affectionem erga parentes abjecerit, et satietatem perseverandi in iis quæ ab illis tradita fuerunt, excusserit. Quandoquidem igitur sic se res habet, agite, omnes simul ad fidem quam dixi, petræ hujus ἀκλινοῦς, id est, quæ distorqueri et inflecti non potest, Petri scilicet ducis apostolorum, accurramus, credamusque Christum esse Deum et hominem.

Sciendum autem est quod, quia idem ipse est Deus et homo, una omnino hypostasis est, et cum Deus et homo sit, duas habet naturas, divinam et humanam, et quia Deus est, non potest non habere divinam naturam; et quia homo, non **372** potest non habere humanam. Est autem hæc una hypostasis ipse ante sæcula Filius, qui est Deus æqualis Patris secundum æternitatem, qui ex æternitate paternam substantiam habet, novissimis vero diebus ex Maria Virgine carnem assumpsit, et homo factus est. Sic æternus Filius sine mutatione et variatione, factus sicut unus ex hominibus per omnia, excepto peccato, assumpta nostra natura, quam non habebat, remanente divina, quam ex æternitate habebat. Hic æternus Filius post incarnationem suam idem est Deus et homo una hypostasis ex Trinitate, habens naturam Patris et Spiritus sancti, et nostram naturam, nulla ad Trinitatem accessione facta. Siquidem veritas eorum quæ a nobis dicta sunt, plane habet Trinitatem non esse auctam, quia non dicimus unam hypostasim Deum esse, aliam vero hominem; sed hypostasim, quæ est Deus, hanc dicimus esse hominem, non aliam, et aliam hypostasim. Non est autem verum dicere Christum esse unam hypostasim, et propterea non debere nisi unam naturam

[f] Matth. xvi, 18. [f*] ibid. 16. [g] Psal. xliv, 11, 12.

habere; quia omnino, si non habeat nisi unam naturam, sequetur ut dicendum sit hanc unam naturam vel esse divinam puram, vel humanam puram, vel divinam et humanam simul, vel neque divinam nec humanam.

Si enim est hæc una natura pure divina, Christus igitur Deus est, et non homo. Sin vero est pure humana, Christus igitur est homo, et non Deus. Si autem est hæc una natura divina simul et humana, ergo neque Patris, neque Spiritus sancti, nec hominum natura est, et ex utraque parte crimen blasphemiæ inuretur sic sentienti, et a sana natura excedet: sin autem est hæc una natura neque divina neque humana, igitur Christus neque Deus neque homo est. Quare quocunque sermonem circumvertamus, eo adducimur ut dicamus Christum esse unam hypostasim sanctæ Trinitatis naturas duas habentem, divinam scilicet et humanam. Et ob hanc causam in eo simul concurrerunt utrique sermones, et ipsius Christi, cum dixit se esse Filium hominis; et Petri, cum ipsum dixit esse Filium Dei vivi. Qui vero dicit, Christum esse duas hypostases, Petrum Christo respondentem facit respondere ἀσκόπως, id est, extra propositum, de quo Christus non est percontatus. Ille enim percontatus est de Filio hominis; Petrus autem ipsum, per quem facta erat percontatio, **373** respondit esse Filium Dei. Si igitur hypostasis quæ est Filius hominis alia fuit præter hypostasim quæ est Filius Dei, aberravit ab intelligentia mens Petri; et respondit, de quo non fuit interrogatus, ut prius diximus. Si sic autem esset (propitius sit mihi Deus), nunquam Dominus sermonem ejus laudasset: neque beatum eum prædicasset propter responsionem, quam ad revelationem a Patre profectam retulit.

A Οὐκ ἀληθὲς δὲ φάναι τὸ, τὸν Χριστὸν εἶναι μίαν ὑπόστασιν, διὰ τοῦτο δεῖν μὴ ἔχειν εἰ μὴ μίαν φύσιν· ἐπεὶ πάντως ἕψεται ταύτην τὴν μίαν εἰπεῖν φύσιν, ἢ θείαν ἄκρατον, ἢ ἀνθρωπίνην ἄκρατον, ἢ θείαν καὶ ἀνθρωπίνην ἅμα, ἢ μήτε θείαν, μήτε ἀνθρωπίνην.

Εἰ μὲν γάρ ἐστιν ἡ μία φύσις αὕτη θεία ἄκρατος [27], ὁ Χριστὸς ἄρα ἄνθρωπος, καὶ οὐ Θεός. Εἰ δὲ ἐστιν ἡ μία φύσις αὕτη, θεία καὶ ἀνθρωπίνη ἅμα, οὔτε τοῦ ἁγίου Πνεύματος, οὔτε μὴν τῶν ἀνθρώπων ἄρα φύσις ἐστὶν, καὶ ἀμφοτέρωθεν βλασφημίας ἔγκλημα τῷ τουτὶ φρονοῦντι προστριβήσεται, καὶ τῆς ἐρρωμένης φύσεως ἐκστήσεται. Εἰ δέ ἐστιν ἡ μία φύσις αὕτη, οὔτε θεία, οὔτε ἀνθρωπίνη, ὁ Χριστὸς ἄρα, οὔτε Θεὸς, οὔτε ἄνθρωπος. Ὅπου τοιγαροῦν τοὺς λόγους περιστρέφωμεν, εἰς τὸ λέγειν ἀπαγόμεθα, ὅτι B ὁ Χριστὸς, μία ὑπόστασις ἐκ τῆς Τριάδος, δύο φύσεις ἔχων, φύσιν τε θείαν καὶ φύσιν ἀνθρωπίνην, καὶ τούτου χάριν ἐπ' αὐτοῦ συνῆλθον ὁμοῦ ἀμφότεροι οἱ λόγοι αὐτοῦ τὰ περὶ ἑαυτοῦ εἰρηκότος, εἶναι τὸν Υἱὸν τοῦ ἀνθρώπου, καὶ τοῦ Πέτρου περὶ αὐτοῦ, ὅτι οὗτός ἐστιν ὁ Υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος. Ὁ δὲ λέγων τὸν Χριστὸν ὑποστάσεις εἶναι δύο, τὸν ἅγιον Πέτρον ἀποκρινόμενον τῷ Χριστῷ καθίστησιν ἀσκόπως ἀποκρίνεσθαι, περὶ οὗ ὁ Χριστὸς οὐκ ἠρώτησεν. Ὁ μὲν γὰρ ἠρώτησε περὶ τοῦ Υἱοῦ τοῦ ἀνθρώπου, ἑτέρα καθέστηκε παρὰ τὴν ὑπόστασιν, ἥτις ἐστὶν ὁ Υἱὸς τοῦ Θεοῦ, ἀπεπλανήθη τῆς κατανοήσεως ὁ Πέτρου νοῦς· καὶ γέγονεν αὐτοῦ ἡ ἀπόκρισις, ὑπὲρ οὗ οὐκ ἠρώτηται, ὡς ἔφημεν εἰπόντες. Εἰ δὲ τοῦτο οὕτως ἦν (ἵλεως ὁ Θεὸς), οὐκ ἂν ὁ Κύριος ἐπῄνεσεν αὐτοῦ C τὸν λόγον· οὔτ' ἂν ἐμακάρισεν αὐτὸν τῆς ἀμοιβῆς, τῇ ἐκ τοῦ Πατρὸς ἀποκαλύψει αὐτὴν ἐπιγραψάμενος.

Igitur confessionis fidei in Christum verum dogma est, quod definitio divinæ sanctorum Patrum synodi Chalcedonensis recte tractat, decernens Christum esse unam hypostasim sanctæ Trinitatis duas naturas habentem, divinam et humanam, ut jam ante diximus. Sitque hujus exemplum perspicuum: ponamus tres aureos, quorum unus injectus in ignem igne affectus factus est ignis, remanens aurum, ut erat: tu ergo si alios duos aureos seponas, et seponas multos carbones igneos, deinde aureum factum ignem inter alios duos aureos: et carbones videas habere naturam aliorum duorum aureorum perfectorum, id est, qui sit aurum, sicut uterque illorum duorum aureorum, et naturam carbonum igneorum, quia ignis est, sicut unusquisque aliorum carbonum, ille in medio aureus una hypostasis est aureorum Trinitatis, quia naturam carbonum, quæ erat ignis, non unum carbonem ex illis assumpsit, sed factus est sicut unus ex illis carbonibus. Ad eumdem modum æternus Filius e cœlo descendens (intelligunt auditores descensum, ut Deum decet), non hypostasim

Οὐκοῦν τὸ τῆς εἰς Χριστὸν ὁμολογίας ἀληθινὸν δόγμα, ὁ τῆς ἐν Χαλκηδόνι συγκεκροτημένης θείας συνόδου τῶν ἁγίων Πατέρων ὅρος ὀρθοτομεῖ, τὸν Χριστὸν ὁρίζων μίαν ὑπόστασιν ἐκ τῆς Τριάδος εἶναι, δύο φύσεις ἔχοντα, φύσιν θείαν καὶ φύσιν ἀνθρωπίνην, ὡς ἤδη προείπομεν. Καὶ σαφὲς τούτου παράδειγμα· Προκείσθωσαν χρύσινοι τρεῖς, ὧν ὁ εἷς ἐμβληθεὶς πυρὶ, καὶ πυρωθεὶς, ἐγένετο πῦρ, μεμενηκὼς χρυσὸς, οἷος ἦν· σὺ οὖν εἰ θείης ἐν μέρει μὲν τοὺς ἄλλους δύο χρυσίνους, ἐν μέρει δὲ πολλοὺς D ἄνθρακας πυρίνους, εἶτα τὸν χρύσινον τὸν πυρωθέντα, καὶ πῦρ γενόμενον, μεταξύ τε τῶν ἄλλων δύο χρυσίνων καὶ τῶν ἀνθράκων, τὸν μέσον ἂν θεάσαι τὸν χρύσινον ἔχοντα τῶν ἄλλων δύο χρυσίνων τῶν τελείων φύσιν, τουτέστιν ὄντα χρυσὸν, ὡς τοῖν δυοῖν ἐκείνοιν χρυσίνοιν ἑκατέροιν, καὶ τὴν τῶν ἀνθράκων φύσιν, ἐπειδὴ πῦρ ἐστιν ὥσπερ τῶν ἄλλων ἀνθράκων ἕκαστος. Ὁ δὲ μέσος χρύσινος, ὑπόστασίς ἐστι μία τῆς τῶν χρυσίνων Τριάδος, διότι τὴν τῶν ἀνθράκων φύσιν, τὴν οὖσαν πῦρ, οὐχ ἕνα προσείληφεν ἀπ' ἐκείνων τῶν ἀνθράκων ἄνθρακα· ἀλλὰ γέγονεν αὐτὸς, ὡς εἷς τῶν ἀνθράκων. Τὸν αὐτὸν δὴ

VARIÆ LECTIONES.

[27] Alterum membrum hic desideratur.

τρόπον ὁ ἀΐδιος Υἱὸς ἐξ οὐρανοῦ καταβεβηκὼς (ἐννοείτωσαν δὲ οἱ ἀκροαταὶ θεοπρεπῶς τὴν κατάβασιν), οὐχ ὑπόστασιν ἐξ ἡμῶν, ἀλλὰ τὴν ἡμετέραν φύσιν προσείλαβεν, καὶ γέγονεν ὡς εἷς ἐξ ἡμῶν, δίχα τῆς ἁμαρτίας, ὡς αὐτὸς ὁ θεῖος Ἀπόστολος· Πεπείρασται, φησὶ, κατὰ πάντα καθ' ὁμοιότητα, χωρὶς ἁμαρτίας.

A nostram, sed naturam assumpsit; factusque est sicut unus nostrum, extra peccatum, sicut Apostolus ait [h], tentatum esse per omnia secundum similitudinem, absque peccato.

Τοιγαροῦν ὁ ἀΐδιος Υἱὸς ἔχει τήν τε τοῦ Πατρὸς καὶ τοῦ ἁγίου Πνεύματος, ἣν ἀεὶ προεῖχε, φύσιν, καὶ τὴν ἡμετέραν ἀνθρωπίνην φύσιν μετὰ τὴν ἑαυτῆς σάρκωσιν, μία ὑπάρχων ἐκ τῆς Τριάδος ὑπόστασις, προσθήκην οὐκ εἰσδεξάμενος, ὡς προείρηται. Μὴ ποιητέον δὲ τὴν φύσιν ὑπόστασιν, ἢ τὴν ὑπόστασιν εἶναι φύσιν. Εἰ δὲ μὴ, πᾶσιν ἡμῖν τοῖς Χριστιανοῖς συμβήσεται λέγειν τὸν Πατέρα, καὶ τὸν Υἱὸν, καὶ τὸ Πνεῦμα τὸ ἅγιον, τρεῖς φύσεις, ὥσπερ B εἰσὶ τρεῖς ὑποστάσεις, ἢ μίαν αὐτοὺς ἔχειν ὑπόστασιν, ὃν τρόπον μίαν ἔχουσι φύσιν. Ἀμφότερα δὲ τῆς τῶν Χριστιανῶν ὁμολογίας ἀλλότρια, ἐπειδὴ τὸ μὲν Ἀρείου, τὸ δὲ Σαβελλίου πέφυκε φρόνημα. Ὁ μέντοι τῆς ἀληθείας λόγος, ὡς ὁ Θεολόγος ἔφη Γρηγόριος, μονάς ἐστι ἐν Τριάδι, καὶ Τριὰς ἐν μονάδι προσηνουμένη [28]. Ἔστιν μὲν οὖν μονὰς τῆς φύσεως μονὰς, οὐ μονὰς τῆς ὑποστάσεως· ἡ δὲ Τριὰς τῶν ὑποστάσεων Τριὰς, οὐ Τριὰς τῶν φύσεων· ὁ λέγων δὲ τὴν φύσιν αὐτὸ τὸ τῶν ὑποστάσεων εἶναι σύστημα, τὸν ἅγιον φήσει Γρηγόριον, εἰρηκότα, μονάδα αἰνίττεσθαι τὴν Τριάδα, καὶ ἴσον αὐτοῦ κριθήσεται φάναι, μονάδα ἐν Τριάδι, κἀντεῦθεν συνωθήσεται φάσκειν, ἑνάδα ἐν ἑνάδι. Οὗ τί ἂν ἐπείη διανοίᾳ τινὸς αἰσχρότερον; διόπερ ἐπιτιμήσειεν τῷ ταῦτα δο- C γματίζοντι λέγων, ὅτι ἀντιταττόμενόν ἐστί μοι κράτος οἷον καὶ σοὶ, καὶ τοῖς ῥήμασιν· καὶ καθάπερ ἀκηκοὼς πρὸς τοῦ Θεολόγου μονάδα νοεῖν [29] αὐτὴν Τριάδα, οὕτω κἀγὼ μονάδα νοῶ ἀκούων παρ' αὐτοῦ τὴν Τριάδα. Καὶ συμπεραίνεταί μοι τὸ δόγμα εἰς μονάδα ἐν μονάδι. Καὶ καθάπερ ὡς ἐκεῖνον σεαυτῷ τὸν λόγον ἐκύρωσας, τοῦτον εἴ μοι κυρώσεις πεφυρμένος ὄντως ὁ νοῦς φυραθήσεται, καὶ τῶν ἀντιθέσεων καὶ ἀνατροπῶν ὁ νόμος ἀχρειωθήσεται, ὅπερ οὐκ ἐνδέχεται γενέσθαι. Εἰ δὲ μὴ κυρώσειας, ἐνδίκῳ κρίσει λεχθήσεταί σοι, ὅτι τῶν λόγων οὐ τυγχάνεις ὢν ἐξεταστὴς, ὥστε θρασύτητι διαστρέφειν πρὸς τὸ σοὶ δοκοῦν ἀσχέτως. Ἐπεὶ οὖν ἀληθεῖς εἶναι οὗτοι οἱ λόγοι, οὓς περὶ φύσεως καὶ ὑποστάσεως εἴπομεν, ἠγνόηνται, τὸ ἡμέτερον πάντως ἐβεβαιώθη φρόνημα, ὅτι ἡ φυσικὴ D μονὰς ἄλλη παρὰ τὴν ὑποστατικὴν Τριάδα, καὶ ἡ πίστις ἀεὶ διαμένει ἐπὶ τῆς ὁμολογίας τῆς φυσικῆς μονάδος, ὡς ὁ θεῖος ἔφη Γρηγόριος, καὶ πᾶς ὁ τῶν ἁγίων καὶ θεολήπτων χορὸς Πατέρων.

Habet itaque æternus Filius Patris et Spiritus sancti naturam, quam semper ante habebat, et nostram humanam naturam post incarnationem una hypostasis sive persona ex sancta Trinitate non capiente accessionem, ut ante dictum est. Non est autem natura facienda hypostasis, vel dicamus Patrem, et Filium, et Spiritum sanctum esse tres naturas, sicut habent unam naturam. Utrumque autem a confessione Christianorum alienum est, quia illud quidem est Arii dogma; hoc vero Sabellii. Sermo tamen veritatis est, ut Gregorius Theologus dixit, unitas in Trinitate, **374** et Trinitas in unitate adorata. Est igitur unitas naturæ unitas, non unitas hypostasis: Trinitas vero hypostaseon sive personarum Trinitas, non Trinitas naturarum. Qui vero dicit naturam, ipsam congregationem hypostaseon, dicet dixisse Gregorium unitatem significare Trinitatem, et tantumdem judicabitur, dicere, ut si diceret unitatem in Trinitate et Trinitatem in unitate, ex quo cogetur dicere, unitatem esse in unitate. Quo quid ullius mente turpius cogitari potest? quamobrem reprehendet eum qui hoc dogma tradit, inquiens, tam contra me, et tanta vi sunt verba, quam contra te: et sic ut tu audiens ex Gregorio unitatem, ipsam Trinitatem intelligis, sic ego audiens ab eo Trinitatem, unitatem intelligo. Et concludo dogma hoc, unitatem in unitate esse. Et sicut tu illud tibi approbasti, hoc mihi si approbes, deprehendetur profecto mens confusa, et lex contradicendi et refellendi inutilis erit, quod non potest fieri. Si autem non comprobes, justo judicio dicetur tibi, non te expendere verba, cum arbitratu tuo omnia pervertere non erubescas. Quandoquidem igitur hæc, quæ de natura et hypostasi diximus, vera esse ignoras, sententia nostra confirmata est, unitatem naturalem aliam esse præter Trinitatem hypostaseon, et fidem semper perseverare in confessione unitatis naturæ (et Trinitatis personarum), sicut dixit divinus Gregorius, et omnes sancti et divini Patres.

Εἰ δέ τις πάλιν εἴποι, τὴν φύσιν κοινὴν καὶ ἰδικὴν εἶναι, καὶ ὅτι εἰ μὲν ἡ κοινὴ φύσις ἐστὶν αἱ ὑποστάσεις πᾶσαι, ἡ δὲ ἰδικὴ ἐστι μία ὑπόστασις·

Si vero rursus dicat naturam communem et specialem esse, et quod communis est omnes hypostases, specialis vero est una hypostasis (40),

[h] Hebr. IV, 15.

VARIÆ LECTIONES.

[28] προσκυνουμένη Turr. [29] νοεῖς Turr.

NOTÆ.

(40) Ponere in Trinitate naturam communem, quæ sit omnes hypostases, hæreticorum est; fides vero ponit unam naturam communem in Trinitate hypostaseon.

respondeat nobis percontantibus : Pater et Filius suntne æquales natura, id est, unius naturæ, et substantiæ, annon? Si enim non concedit æquales esse natura, a Christianismo penitus alienatus est. Sin vero concedat, concedet igitur omnino Patrem et Filium æquales esse secundum naturam. Rursus respondeat nobis, hæc natura, qua Pater et Filius æquales sunt, communisne est, an specialis? Si enim dicat communem esse, cogetur dicere Patrem et Filium æquales esse in tribus personis. Sin vero naturam, secundum quam Pater et Filius æquales sunt, specialem dixerit, cogetur dicere Patrem et Filium æquales esse hypostasi. Et **375** ei, qui hoc dicit, erunt Pater et Filius una hypostasis. Utraque autem consecutio valde angusta et blasphema est.

Sermo igitur veritatis confessione synodi Chalcedonensis sanctorum Patrum continetur, non esse naturam omnes simul hypostases, nec unam hypostasim, sed naturam esse semper in eadem unitate; hypostases vero esse in eadem Trinitate, sicut dixit Gregorius Theologus. Docet enim hoc solum scire, unitatem in Trinitate, et Trinitatem in unitate adoratam, habentem admirabilem divisionem et unionem. Neque dicere licet, si naturalis unitas alia est præter Trinitatem hypostaticam, id est, hypostaseon, sunt igitur quatuor res, quia per naturam completur unaquæque hypostasis, et non connumeratur cum re per quam completur. Mens igitur, quæ omni dubitatione agitatur, necessitate compellitur confiteri rectissimam et ab omni macula vacantem fidem sanctæ synodi Chalcedonensis, esse scilicet Christum unam hypostasim ex sancta Trinitate naturas duas habentem, divinam et humanam. Et non licet illi dicere quod, si una hypostasis est Christus, non desinit habere unam naturam : et si duas naturas habet, omnino est duæ hypostases; rata enim et fixa est confessio synodi sanctorum Patrum Chalcedonensis secundum fidem beati principis apostolorum, a qua nullo modo variat, quam principio posuimus. Et confessio hæc est illa confessio Petri, adversus quam non prævaluerunt portæ inferni. Et ipsa erit tandem sors, et hæreditas omnis cœtus Christianorum, quamvis adversarius vitæ et salutis nostræ Belial multas sectiones ei immisit, Christi permissu, ut ostendatur, quod de ea dixit, nequaquam in perpetuum frustrandum esse, et omnino nunquam vincendum.

A ἀναγγειλάτω ἡμῖν ἐρωτῶσιν· Ὁ Πατὴρ, καὶ ὁ Υἱὸς ἴσοι κατὰ τὴν φύσιν εἰσὶ, τοῦτ' ἔστιν αὐτοφυεῖς, καὶ ὁμοούσιοι, ἢ οὐκ εἰσίν; Εἰ μὲν γὰρ μὴ συνθῆται ἴσους αὐτοὺς εἶναι κατὰ τὴν φύσιν, τοῦ Χριστιανισμοῦ παντάπασιν ἀπεξένωται. Εἰ δὲ συνθῆται, συνθήσεται δ' οὖν πάντως τὸν Πατέρα, καὶ τὸν Υἱὸν ἴσους εἶναι κατὰ τὴν φύσιν· αὖθις ἡμῖν ἐρωτῶσιν ἀποκρινάσθω· Ἡ φύσις αὕτη, καθ' ἣν ἴσοι πεφύκασιν ὁ Πατὴρ, καὶ Υἱὸς, κοινή ἐστιν, ἢ ἰδική; Εἰ μὲν γὰρ αὐτὴν εἴποι, κοινὴν εἶναι, βιασθήσεται τὸν Πατέρα καὶ τὸν Υἱὸν λέγειν ἴσον ἐν τρισὶν ὑποστάσεσιν. Εἰ δὲ τὴν φύσιν, καθ' ἥν εἰσιν ὁ Πατὴρ καὶ ὁ Υἱὸς ἴσοι, ἰδικὴν εἴποι, ἀναγκασθήσεται τὸν Πατέρα, καὶ τὸν Υἱὸν λέγειν ἴσους εἶναι τῇ ὑποστάσει. Καὶ ἔσται τῷ τοῦτο λέγοντι, ὁ Πατὴρ καὶ ὁ Υἱὸς μία ὑπόστασις. Ἀμφότερα δὲ B τὰ ἐπακολουθήματα λίαν ἐστενωμένα, καὶ βλάσφημα.

Ὁ τῆς ἀληθείας τοίνυν λόγος ὃν ἡ τῶν ὁμοφρόνων τῆς ἐν Χαλκηδόνι συναθροισθείσης τῶν ἁγίων Πατέρων ὁμηγύρεως ὁμολογία καθέστηκεν, ὅτι οὐκ ἔστιν ἡ φύσις αἱ ὑποστάσεις ὁμοῦ πᾶσαι, οὐδὲ μία ὑπόστασις· ἀλλ' ἡ φύσις ἕστηκεν ἀεὶ ἐπὶ τῆς αὐτῆς ἑνάδος, αἱ δὲ ὑποστάσεις ἐπὶ τῆς αὐτῆς Τριάδος, ὡς εἴρηκεν ὁ θεῖος Γρηγόριος Θεολογῶν. Διδάσκει γὰρ τοσοῦτον εἰδέναι μόνον, μονάδα ἐν Τριάδι, καὶ Τριάδα ἐν μονάδι προσκυνουμένην, παράδοξον ἔχουσαν καὶ τὴν διαίρεσιν καὶ τὴν ἕνωσιν. Οὐδέ τινι λέγειν ἔξεστιν, ὅτι εἴπερ ἄλλη πέφυκεν ἡ φυσικὴ μονὰς παρὰ τὴν τῶν ὑποστάσεων Τριάδα, ἡ φυσικὴ μονὰς καὶ ἡ τῶν ὑποστάσεων Τριάς· ἄρα τέσσαρα πρά- C γματα, διότι τῇ φύσει συμπληροῦται ἑκάστη τῶν ὑποστάσεων· οὐ συναριθμεῖται πράγματι· τῷ συμπληροῦται. Ἀπορῶν οὖν ὁ νοῦς παντοίαν ἀπορίαν, ἀνάγκῃ φέρεται τὴν ὀρθοτάτην, καὶ ἀμώμητον, ὁμολογεῖν ὁμολογίαν τῆς ἐν Χαλκηδόνι συγκροτηθείσης ἁγίας συνόδου, ὅτι ὁ Χριστὸς μία ὑπόστασις ἐκ τῆς Τριάδος, ἔχων δύο φύσεις, θείαν τε καὶ ἀνθρωπίνην. Καὶ οὐκ ἐξόν τινι λέγειν, ὅτι εἰ μία ὑπόστασις ὁ Χριστὸς, ἀπαραχώρητον ἔχειν αὐτὸν, καὶ μίαν φύσιν, καὶ ὅτι εἰ δύο φύσεις ἔχει, πάντως καὶ δύο ὑποστάσεις ἐστί· κεκύρωται δὲ, καὶ πεπαγίωται, ἡ τῶν ὁμοφρόνων τοῦ ἐν Χαλκηδόνι συγκεκροτημένου τῶν μακαρίων Πατέρων ὁμολογία, κατὰ τὴν τοῦ κορυφαίου τῶν ἀποστόλων πίστιν ἀπαράλλακτος οὖσα, ἣν προοίμιον ἐθέμεθα. Καὶ ἡ ὁμολογία αὕτη ἐστὶν ἡ Πέ- D τρου, ἧς οὐ κατίσχυσαν αἱ τοῦ ᾅδου πύλαι. Καὶ εἰς αὐτὴν ἡ λῆξις παντὸς τοῦ τῶν Χριστιανῶν πληρώματος ἔσται ποτὲ, εἰ καὶ πολλὰς ὁ τῆς ἡμετέρας ζωῆς, καὶ σωτηρίας ἀντίπαλος Βελίαρ ἐμβέβληκε αὐτῇ διαιρέσεις Χριστοῦ παρακεχωρηκότος, ὅπως ἐνδείξηται, ὅτι ὁ θεῖος αὐτοῦ περὶ αὐτῆς λόγος, εἰς τὸ διηνεκὲς ἥκιστα καταργηθήσεται, καὶ εἰς τὸ παντελὲς οὐχ ἡττηθήσεται.

Hoc præterea dicendum est, quoniam cum æterno Filio simul copulata est natura divina et humana, post carnem assumptam habet duas naturales proprietates, et item naturales operationes, ac duas naturales voluntates, quia naturæ comprehensio non est firma et certa, nisi natura omnino habeat quæcunque sunt perfectionis ejus. Percipiat optime quod dico auditor, quod ejusdem æterni **376** Filii sunt duæ proprie-

Ἔτι δὲ τοῦτο ῥητέον, ὅτι ἐπείπερ ὁμοῦ συνῆπται Υἱῷ φύσις θεία καὶ φύσις ἀνθρωπίνη, ἔχει δύο φυσικὰς ἐνεργείας, καὶ δύο φυσικὰς θελήσεις· διότι τῆς φύσεως κατάληψις οὐ πιστοῦται, εἰ μὴ πάντως σχοίη, ὅσα τῆς αὐτῆς ἐστι τελειώσεως. Κάλλιστα δὲ τὸν ἡμέτερον λόγον κατανοείτω ὁ ἀκροώμενος, ὅτι τοῦ αὐτοῦ ἀϊδίου Υἱοῦ εἰσιν αἱ δύο φυσικαὶ θελήσεις τε καὶ ἐνέργειαι τοῦ ὄντος μία ὑπόστασις ἐκ τῆς

Τριάδος, ὃν ὁμοῦ δύο φύσεις ἐσχηκέναι σαφῶς παρεστήσαμεν, οὐκ ἄλλης ὑποστάσεως. Καὶ γὰρ τῶν δεχομένων ἐστὶν, ὦ οὗτοι, μίαν ὑπόστασιν διαφόρους ἔχειν ἐνεργείας, καὶ μένειν ἐπὶ τῆς ἑαυτῆς μονάδος. Ὥσπερ, παραδειγματικῶς εἰπεῖν, βλέπομεν τὸν Παῦλον δυνάμενον ὁρᾷν, καὶ ἀκούειν, καὶ λαλεῖν, καὶ διαλογίζεσθαι· ἡ ὅρασις, καὶ ἡ ἀκοὴ, καὶ ἡ λαλιὰ, καὶ ὁ διαλογισμὸς, διάφοροί εἰσιν ἐνέργειαι, καὶ τούτων ἑκάστη ἄλλη παρὰ τὴν ἑτέραν· ἀλλ' ὁ Παῦλος μία ἐστὶν ὑπόστασις, ταύτας ἔχων ὅλας τὰς τέσσαρας ἐνεργείας· ἀλλ' ὀφθαλμῷ μὲν ὁρᾷ, καὶ οὐκ ἄλλῳ τῶν τοῦ σώματος μελῶν· ἀκούει δὲ τῷ ὠτίῳ, καὶ οὐκ ἄλλῳ, καὶ τῇ γλώττῃ λαλεῖ, καὶ οὐκ ἄλλῳ μορίῳ, καὶ διαλογίζεται τῷ νοΐ, καὶ οὐκ ἄλλῳ τινί· ἑκάστη δὲ τῶν ὑποστατικῶν ἐνεργειῶν ἔχει φυσικὴν ἐν τῇ ὑποστάσει δύναμιν, ὕλην ὑποκειμένην τῷ ἐνεργήματι, ὅπερ ἡ ὑπόστασις ἐνεργεῖ, καὶ ἔστι τὸ ἐνεργούμενον ἴδιον τῆς ὑποστάσεως. Ὃν τρόπον Παῦλος ὑπόστασις ὢν, δύναμιν ἔχει τῇ ἑαυτοῦ γνώμῃ λαλεῖν, ὡς ἔχουσιν οἱ πάντες ἄνθρωποι. Οἱ μέντοι λόγοι, οὓς Παῦλος λαλεῖ, καθ' ὃν φθέγγεται καιρὸν, τοῦ Παύλου εἰσὶν ἴδιοι. Οὕτω τοίνυν μὴ ἀπαγορευτέον, τὸν ἀΐδιον Υἱὸν, τὸν ἐκ τῆς Τριάδος ἅπαντα ὑπόστασιν, ἔχειν μετὰ τὴν ἑαυτοῦ ἐνανθρώπησιν, τήν τε θείαν φύσιν, ὡς ὁ Πατὴρ, καὶ τὸ ἅγιον Πνεῦμα, καὶ τὴν ἀνθρωπίνην φύσιν, ὥσπερ ἕκαστος τῶν κατὰ μέρος ἀνθρώπων, καθ' ὃν προέφημεν τρόπον.

Τούτων οὕτως ἐχόντων, πέφυκεν εἰλικρινῶς ἡ θεία φύσις, ἐν τῇ αὐτοῦ ὑποστάσει, ὕλη τοῖς ἑαυτοῦ θείοις ἔργοις, ἃ κατὰ τὴν ἐνανθρώπησιν αὐτοῦ, καὶ ἐπὶ γῆς ἀναστροφὴν εἰργάσατο. Ἀληθῶς δὲ καὶ ἡ ἀνθρωπίνη φύσις ἔνεστι τῇ τοῦ ἀϊδίου Υἱοῦ ὑποστάσει, ὕλη τοῖς ἑαυτοῦ ἀνθρωπίνοις ἔργοις, ἃ τοῖς ἀνθρώποις συναναστρεφόμενος πεποίηκεν, καὶ ἔστιν αὐτοῦ ἴδια παρὰ πάντας ἀνθρώπους. Ὁ αὐτὸς δὲ λόγος ἐστὶν καὶ ἐπὶ τοῖς δυσὶν αὐτοῦ φυσικοῖς ἰδιώμασίν τε καὶ θελήμασιν.

Ἀναγκαῖον δὲ καὶ τοῦτο μὴ ἀσαφὲς καταλιπεῖν τῷ ἐντυγχάνοντι τῷδε τῷ ἡμετέρῳ γράμματι, ὅτι τὸν ἀΐδιον Υἱὸν ἄνθρωπον λέγοντες γεγενῆσθαι, τοῦτό φαμεν, ὅπερ Ἀθανάσιός τε καὶ Κύριλλος, οἱ τῆς Ἀλεξανδρείας εἰρήκασιν ἱεράρχαι, καὶ πάντες οἱ θεοφόροι Πατέρες, ὅτι κτίσας ἐκ τῆς Παρθένου πανάγνου Μαρίας ἑαυτῷ ἐψυχωμένην, λογικήν τε καὶ ἱερὰν ψυχὴν, ἰδίαν τῆς ἑαυτοῦ ὑποστάσεως ἐποιήσατο, ὡς ἡ τοῦ δεῖνος σάρξ τε καὶ ψυχὴ, τῆς τοῦ δεῖνος ὑποστάσεως ἰδία καθέστηκεν. Ὃν οὖν τρόπον ὁ δεῖνα, ὁ σῶμα ἀνθρώπινον ἔχων καὶ ψυχὴν ἀνθρωπίνην, ἄνθρωπός ἐστιν· τὸν αὐτὸν τρόπον ὁ ἀΐδιος Υἱὸς, κτίσας τῇ ἑαυτοῦ ὑποστάσει σῶμα ἀνθρώπινον, καὶ ψυχὴν ἀνθρωπίνην, καὶ ἴδια αὐτοῦ ἄμφω ποιησάμενος, γέγονεν ἀληθῶς ἄνθρωπος. Ὥσπερ δὲ τὸ τοῦ δεῖνος σῶμα καὶ ἡ ψυχὴ ἀμφότερα τῆς ἑαυτοῦ ὑποστάσεως

A tates naturales, et duæ naturales voluntates, et operationes, ejus scilicet, qui est una hypostasis ex sancta Trinitate, quem aperte probavimus habere duas naturas, non alius et alius hypostasis sive personæ. Siquidem possibile est, unam hypostasim habere diversas operationes, et manere in sua unitate. Ut exempli causa dicamus, videmus Paulum potentem videre, et audire, ac loqui, et disputare; visio, auditio, locutio, et disputatio diversæ operationes sunt; et unaquæque harum alia est præter aliam, et Paulus una est hypostasis, quæ habet totas quatuor operationes; verum oculo videt, et non alia parte corporis, audit aure, non alio membro, et lingua loquitur, et non alia particula, et mente ratiocinatur, et non alio aliquo: B unaquæque autem operationum hypostaticarum habet naturalem in hypostasi potentiam materiam subjectam effectui, quem hypostasis operatur, et est quod efficitur, proprium hypostasis. Sicut Paulus, qui est hypostasis, potentiam habet loquendi sua voluntate, sicuti habent omnes homines. Sermones tamen quos Paulus loquitur, quo tempore loquitur, proprii sunt Pauli. Sic igitur non est negandum, æternum Filium totum hypostasim ex Trinitate, habere post incarnationem naturam divinam, sicuti unus Pater, et Spiritus sanctus; et naturam humanam, sicuti unusquisque homo particularis, sicut ante diximus.

Hæc cum sic sint, habet divina natura in hypostasi Filii, ut sit materia divinis ejus operibus (41), C quæ secundum suam humanitatem assumptam, et secundum conversationem in terra operatus est. Vere enim et natura humana inest in hypostasi æterni Filii materia suis operibus humanis, quæ cum hominibus agens, et in terra versans fecit, et sunt ejus propria præter omnes homines. Eadem ratio est et in duabus ejus naturalibus proprietatibus et voluntatibus.

Necessarium præterea est non relinquere hoc lectori sine explicatione, quod cum dicimus æternum Filium factum esse hominem, hoc dicimus, quod Athanasius et Cyrillus Alexandrini archiepiscopi, et omnes sancti Patres dixerunt, cum fabricavit sibi ex purissima Virgine Maria anima- D tum et ratiocinantem, ac intelligentem humanam carnem, etiam humanam intelligentem animam propriam suæ hypostasis fecit, sicuti cujusdam caro et anima cujusdam hypostasis sive personæ propria est. Sicut igitur quidam, qui corpus et animam **377** habet, homo est, ad eumdem modum æternus Filius, fabricatus sibi corpus humanum, et animam humanam, et ambo propria sibi faciens, factus est vere homo. Sicut igitur corpus et anima cujusdam utraque sunt propria suæ per-

NOTÆ.

(41) *Schol. Turr.* Sicut potentia est subjecta suis operationibus in hypostasi humana, sic in hypostasi divina Filii divina natura subjecta erat divinis operationibus: humana vero natura in eadem hypostasi divina subjecta operationibus humanis. Dicitur natura divina materia, id est, instar materiæ, et subjecti secundum modum apprehensionis nostræ, ut sanctus Thom. loqui solet.

sonæ, et non alius humanæ personæ [sic corpus, A et anima æterni Filii, ambo sunt propria suæ hypostasis, et non alius humanarum hypostaseon (42)], hac de causa dicimus æternum Filium unam hypostasim ex Trinitate, habere duas naturas, non utrasque ἰδικῶς, id est, specialiter sive particulariter hypostasi ipsius differentes; sed divina quidem natura ipsius et Patris, et Spiritus sancti erat, humana vero ipsius et hominum. Hypostasis tamen ejus διαφερόντως, id est præcipue ipsi soli præter Patrem et Spiritum sanctum, distincta et discreta est, et corpus ejus et anima specialiter sunt hypostasis, sive personæ ejus præter omnes homines.

ἴδια, οὐχ ἄλλης τῶν ἀνθρωπίνων ὑποστάσεων· τούτου δὴ χάριν τὸν ἀΐδιον Υἱόν φαμεν τὸν ἐκ τῆς Τριάδος ὄντα μίαν ὑπόστασιν, δύο φύσεις ἔχειν, οὐχ ἰδικῶς ἑκατέρας τῇ αὐτοῦ ὑποστάσει διαφερούσας, ἀλλὰ τῆς μὲν θείας φύσεως αὐτοῦ τε, καὶ Πατρὸς καὶ ἁγίου Πνεύματος ἦν· ἀνθρωπίνη δὲ, αὐτοῦ τε καὶ τῶν κατὰ μέρος ἀνθρώπων. Ἡ μέντοι ὑπόστασις αὐτοῦ διαφερόντως αὐτῷ μόνῳ παρὰ τὸν Πατέρα καὶ τὸ Πνεῦμα τὸ ἅγιον ἀφώρισται, καὶ τὸ σῶμα αὐτοῦ καὶ ἡ ψυχὴ ἰδικῶς ἀμφότερα τῆς ὑποστάσεως αὐτοῦ παρὰ πάντας ἀνθρώπους.

Quæcunque autem sustinuit et passa est caro æterni Filii, et anima ejus humana, ipse æternus Filius Dei sustinuisse et passus esse dicitur; et B ipsi vere acciderunt, et ipsi attribuuntur, sicuti quæcunque patitur caro cujusdam et anima, cuidam accidunt, et ipsi vere attribuuntur. Idcirco veram confessionem confitemur, cum dicimus æternum Filium esurisse, et sitisse, et defatigatum esse in agonia, et faciem ejus percussam esse et consputam, et dorsum ejus flagellatum esse, et æterni Filii manus esse confixas et pedes, et ipsum in cruce suspensum esse, et mortuum ac sepultum, et tertia die resurrexisse. Verum hæc passus est, quatenus possibile fuit pati, id est, carne sua humana, et anima cum sua natura divina. Sed si vellemus sigillatim explicare, quomodo unumquodque horum, quæ diximus, factum fuerit, longa esset epistola, et C satietatem afferret. Sin autem horum omnium explicationem omittam, videndum erit, ne quid mei sermones excludant ab iis, qui non sunt ad intelligendum acuti, neque habent ingenii solertiam. Quocirca mortem ad explicandum seligemus, qua eorum, quæ in passione æterno Filio Dei tribuuntur, nihil est odiosius et invisius. De hac vobis aperiemus, quomodo accidit ei, et ejus reputata est, ut hoc dicto et prolato, ad reliqua ducem habeatis.

Ὅσα δὲ ὑπέστη καὶ πέπονθεν ἡ τοῦ ἀϊδίου σὰρξ καὶ ἡ ἀνθρωπίνη αὐτοῦ ψυχὴ, αὐτὸς ὁ ἀΐδιος Υἱὸς ὑφεστάναί τε λέγεται καὶ πεπονθέναι, καὶ αὐτῷ συμβέβηκε κατὰ ἀλήθειαν, καὶ αὐτῷ ἐπιγράφεται, ὃν τρόπον ὅσα πάσχει ἡ τοῦ δεῖνος σάρξ τε καὶ ψυχὴ, τῷ δεῖνι συμβαίνει, καὶ αὐτῷ κατὰ ἀλήθειαν ἐπιγράφεται. Διὰ τοῦτο τὴν ἀληθινὴν ὁμολογίαν ὁμολογοῦντες λέγομεν, ὅτι αὐτὸς ὁ ἀΐδιος Υἱὸς ἐπείνασε, καὶ ἐδίψησε, καὶ ἐκοπίασε, καὶ ἠγωνίασε, καὶ τὸ πρόσωπον αὐτοῦ ἐῤῥαπίσθη καὶ ἐνεπτύσθη, καὶ [30] τὸν νῶτον αὐτοῦ ἐμαστιγώθη, καὶ τοῦ ἀϊδίου Υἱοῦ καθηλώθησαν αἱ χεῖρες, καὶ οἱ πόδες, καὶ αὐτὸς ἐπὶ σταυροῦ ἐκρεμάσθη, καὶ ἀπέθανε, καὶ ἐτάφη, καὶ ἀνέστη τῇ τρίτῃ ἡμέρᾳ. Ταῦτα πάντα, ὦ οὗτοι, τῷ ἀϊδίῳ συμβέβηκε· ἀλλὰ ταῦτα πέπονθε, καθ' ὃ δυνατὸν ἦν παθεῖν, τουτέστι, τῇ ἑαυτοῦ ἀνθρωπίνῃ σαρκί τε καὶ ψυχῇ σὺν τῇ ἑαυτοῦ θείᾳ φύσει. Ἀλλ' εἰ μὲν ἀνὰ μέρος διασαφῆσαι πῶς ἕκαστον τῶν εἰρημένων ἐγένετο βουληθείημεν, μακρὰν [31] ἂν εἴη τὸ γράμμα καὶ προσκορές. Εἰ δὲ τὴν τούτων ἁπάντων διασάφησιν καταλίποιμεν, σκόπει λοιπὸν, μή τι ἂν ἀποκλεισθεῖεν τῶν οὐκ ὄντων εἰς κατανόησιν οὐκ ἐχόντων ἀγχίνοιαν οἱ ἡμέτεροι λόγοι, ὅθεν τὸν θάνατον ἀφορίζομεν, ὅς ἐστιν ὅσα τῷ ἀϊδίῳ Υἱῷ ἐπιγράφεται παθημάτων ἀπεχθέστερός τε καὶ εἰδεχθέστερος. Καὶ τοῦτο διαλευκάναντες γνωριοῦμεν ὑμῖν, πῶς αὐτῷ συμβέβηκέ τε καὶ λελόγισται, ὅπως ἐντεῦθεν λεγομένου καὶ ἠχομένου [32], καὶ εἰς τὰ λοιπὰ καθοδηγηθείητε.

378 Joannes Baptista, quod vos non fugit, impletus est Spiritu sancto cum adhuc in utero matris esset. Erat autem Joanni corpus et anima. D Post adventum igitur Spiritus sancti, anima et corpus Joannis Spiritus sancti erant. Mors autem cujusque hominis separatio est animæ a suo corpore. Separata igitur anima Joannis a corpore suo, mortuus fuit Joannes, non autem Spiritus sanctus, qui ei advenit. Mors igitur Joannis fuit, a qua liber fuit Spiritus sanctus, ita ut mors Joannis non reputetur Spiritus sancti mors, sicut audistis: æternus vero Filius non est copulatus hypostasi alicujus hominis corpus et animam habentis, sed potius

Ἰωάννης ὁ Βαπτιστὴς, ὦ οὗτοι, καθὼς ἐπίστασθε, ἐπλήσθη Πνεύματος ἁγίου ἔτι κατὰ γαστέρα τῆς μητρὸς αὐτοῦ κεχυημένος. Ἦν δὲ τῷ Ἰωάννῃ ψυχὴ καὶ σῶμα. Μετὰ γοῦν τὴν τοῦ ἁγίου Πνεύματος ἐπιφοίτησιν, ἡ τοῦ Ἰωάννου ψυχὴ, καὶ τὸ σῶμα τοῦ Ἰωάννου τοῦ ἁγίου Πνεύματος ἦν. Ὁ δὲ θάνατος ἑκάστου τῶν ἀνθρώπων χωρισμός ἐστι τῆς οἰκείας ψυχῆς ἀπὸ τοῦ οἰκείου σώματος. Χωρισθείσης οὖν τῆς τοῦ Ἰωάννου ψυχῆς ἀπὸ τοῦ ἰδίου σώματος, ὁ Ἰωάννης τέθνηκεν, οὐ τὸ ἐπιφοιτῆσαν ἐν αὐτῷ Πνεῦμα ἅγιον. Ὁ θάνατος τοίνυν Ἰωάννου ἦν, καὶ τὸ τοῦ ἁγίου Πνεύματος ἐλεύθερον, ὥστε μὴ λογισθῆναι αὐτῷ τὸν τοῦ Ἰωάννου θάνατον, καθ' ὧν ἀκηκόατε

VARIÆ LECTIONES.

[30] κατά. [31] f. μακρόν. [32] ἴσ. ἠχουμένου.

NOTÆ.

(42) Deest in Græco.

τρόπον· ὁ μέντοι ἀΐδιος Υἱὸς οὐχ ὑποστάσει τινὸς A τῶν ἀνθρώπων ἔχοντος σῶμα καὶ ψυχὴν ἐνηρμόσθη, ἀλλ' ἑαυτῷ σάρκα καὶ ψυχὴν ἀνθρωπίνην προσειληφὼς, καὶ οἰκειωσάμενος ἀμφότερα τῆς ὑποστάσεως αὐτοῦ οὐκ ἄλλως παντάπασιν ἐποιήσατο, ὥσπερ τὸ τοῦ Ἰωάννου σῶμα, καὶ ἡ ψυχὴ τοῦ Ἰωάννου οὐκ ἄλλου ὑπῆρχεν, καὶ κατὰ τοῦτο γέγονε, καὶ ἀΐδιος Υἱὸς ὡς εἷς τῶν ἀνθρώπων. Καθάπερ δὲ τῆς τοῦ Ἰωάννου ψυχῆς ἀπὸ τοῦ ἰδίου σώματος χωρισθείσης, αὐτὸς ὁ Ἰωάννης ἐστὶν ὁ τεθνηκὼς, οὗ ἡ ψυχὴ καὶ τὸ σῶμα τὰ κεχωρισμένα ἴδια· οὕτω τῆς ἀνθρωπίνης τοῦ ἀϊδίου Υἱοῦ ψυχῆς ἀπὸ τοῦ σώματος αὐτοῦ χωρισθείσης, αὐτὸς ὁ ἀΐδιος τέθνηκεν Υἱὸς, ἐπειδὴ ἐκεῖ οὐκ ἦν ὑπόστασις ἑτέρα παρεκτὸς τοῦ ἀϊδίου Υἱοῦ ἐσχηκυῖα σῶμα καὶ ψυχὴν, ὧν ἐγένετο χωρισμὸς, B ἵνα λογισθῇ τῆς ὑποστάσεως ἐκείνης ὁ θάνατος εἶναι. Ἀλλ' ὁ μὲν Ἰωάννης τῆς ψυχῆς αὐτοῦ χωρισθείσης ἀπὸ τοῦ ἰδίου σώματος τέθνηκεν καὶ ἀπόλωλεν· οὐ γὰρ παντελῶς ἦν, εἰ μὴ ἐκ συναφείας ψυχῆς καὶ σώματος· ὁ δὲ προαιώνιος καὶ τῷ Πατρὶ σύναρχος καὶ συναΐδιος Υἱὸς τῆς ἀνθρωπίνης ἑαυτοῦ ψυχῆς, ἀπὸ τοῦ ἰδίου ἑαυτοῦ σώματος χωρισθείσης, ἀπέθανε μὲν ἀληθείᾳ· διότι τὸ σῶμα, καὶ ἡ ψυχὴ, ἅπερ διεζεύχθησαν, αὐτὰ οὐκ ἄλλης ὑποστάσεως ἦσαν, ὡς ἔφθημεν εἰπόντες· οὐκ ἀπώλετο δὲ, ἐπειδήπερ ἦν ἀεὶ, πρὸ τοῦ εἰληφέναι ταύτην τὴν ψυχὴν, καὶ τὴν σάρκα. Κατὰ τοῦτον δὴ τὸν τρόπον ἀπέθανεν ὁ ἀΐδιος Υἱὸς ὑπὲρ ἡμῶν ἀληθείᾳ, μεμενηκὼς ζῶν, οἷος ἦν· καὶ γέγονεν ἡ λύτρωσις ἡμῶν οὐκ ἐν θανάτῳ ὑποστάσεων τινὸς τῶν ἀνθρώπων, ὡς δῆθεν Ἰωάννου τοῦ Βαπτιστοῦ, ἀλλ' ἐν τῷ τοῦ ἀϊδίου Υἱοῦ θανάτῳ, οὐδεμιᾶς ἐντεῦθεν αὐτῷ ζημίας ἐπεισελθούσης· οὕτω τοίνυν, ὦ οὗτοι, γέγονεν ὁ τοῦ ἀϊδίου θάνατος.

Ὅστις οὖν ἐστιν νουνεχὴς, δύναται τὴν ἑαυτοῦ C θεωρίαν ἐμβαθῆναι πᾶσι τοῖς εἰς ἃ κεχρημάτικεν αὐτῷ, ἀνθρώποις [33], καὶ γνῶναι πῶς ἐγένετο. Ὅσα γὰρ ἐστι τοῦ θανάτου, τῶν ἀνθρωπίνων πως ἧττω τυγχάνει. Εἰ γὰρ ὁ θάνατος ἁρμόζει ἐπὶ τοῦ ἀϊδίου Υἱοῦ λέγεσθαι, καθ' ὃν ἔφημεν τρόπον, πάθους οὐ προσπελάσαντος αὐτοῦ τῇ θεότητι, τὰ χωρὶς θανάτου ἀπὸ τῶν ἀνθρωπίνων προσήκει μᾶλλον ἐπ' αὐτοῦ λέγεσθαι, μηδενὸς τῇ αὐτοῦ θεότητι προσαπτομένου παθήματος. Οὐκοῦν ταῦτα τὰ ἀνθρώπινα καθὰ προείρηται, τῷ ἀϊδίῳ Υἱῷ, ὅς ἐστιν ὁ Χριστὸς, συμβέβηκεν μετὰ τὴν ἑαυτοῦ ἐνανθρώπησιν, ὅτε θάνατος, καὶ τἄλλα ὅσα τοῖς ἱεροῖς Εὐαγγελίοις ἐγγέγραπται. Ἀλλὰ μηδαμῶς ὑποληπτέον, αὐτὸν ὑπομεμενηκέναι τι τούτων ἀνάγκῃ τὸ παράπαν, ἀλλ' ἑκουσίῳ θελήματι· πλὴν ὅτι ἡνίκα ταῦτα παθεῖν ἐβούλετο, συν- D έβαινεν αὐτῷ, καθ' ὃν ἡμῖν συμβαίνει φυσικὸν τρόπον. Ὥστε μὴ νομισθῆναι τὴν οἰκονομίαν αὐτοῦ φαντασίαν, καὶ ὅπως ἡ κατὰ τοῦ διαβόλου ἀπόφασις δικαιωθῇ, ἐξ οὗ ταύτῃ τῇ οἰκονομίᾳ τὸ τῶν ἀνθρώπων ἐλυτρώσατο γένος.

Εἶδος δ' οὖν τῶν αὐτῷ συμβάντων ἀνθρωπίνων κατάδηλον ποιήσομαι, ἵνα τὸ ῥηθὲν βεβαιώσω· ἔστω δὲ ἡ πεῖνα. Ὅτε δὴ γὰρ πεινᾷν ὁ ἀΐδιος ἤθελεν Υἱὸς, ἐφίει τῇ ἑαυτοῦ σαρκὶ τὴν τοῦ ἀέρος εἰσδέχε-

A σθαι δύναμιν, ὥστε τὸν ἀέρα κατὰ τὴν ἐπιφάνειαν αὐτῆς, ἐν τοῖς τῷ δέρματι πόροις ἀναμάττεσθαι. Εἶτα τὸ προσεχέστερον τῷ ἀέρι τῆς σαρκὸς μέρος, ἐκ τῶν μελῶν ἐπεσπᾶτο οἷς ἂν ἐμπελάζει μέρος, ἀφ' οὗ ὁ ἀὴρ ἀνιμᾶται, κἀκεῖνα τῶν κενῶν ἐξεῖλκε χωρημάτων, οἷς ἀεὶ χορηγεῖταί τις ἔνυλος ἐκ τῆς καταλλήλου τροφῆς ἀνάδοσις, ἥτις ἐκ τῶν ἐμπεφυκυιῶν αὐτοῖς ἀπὸ τοῦ ἥπατος ἐξείλκετο φλεβῶν· αἱ δὲ φλέβες ἐκ τοῦ ἥπατος· τὸ δὲ ἧπαρ ἐκ τῶν δύο φλεβῶν τῶν ἀπὸ τοῦ στομάχου ἐκφυομένων δύο φλέβες αὗται ἐκ τοῦ στομάχου ἀφείλκοντο. Κενούμενος οὖν ὁ στόμαχος τὴν ἔξωθεν τῆς τροφῆς ἐπεζήτει χορηγίαν. Κατὰ τοῦτον οὖν ἀδελφοὶ τὸν τρόπον, τῷ ἀϊδίῳ Υἱῷ συμβέβηκεν ἡ πεῖνα. Αὐτεξουσίῳ γὰρ βουλήσει, οὐκ ἀνάγκῃ φυσικῇ ἐπείνασεν, καὶ B τούτου ἀπόδειξις ἐναργής, ὅτε τεσσαράκοντα ἡμέρας διαμείνας ἀπόσιτος, ὕστερον ἐπείνασεν. Εἰ γὰρ ὡς ἑκάστης τῶν ἡμετέρων σαρκῶν, καὶ τῆς αὐτοῦ σαρκὸς ἐξουσίαζεν ὁ ἀὴρ, οὐκ ἂν ἡμέραν διεληλύθει μίαν, ἢ δύο, ἢ τρεῖς, ἄχρις ἂν πεινάσῃ, καθὼς ἐν αὐτῷ ὁρῶμεν γινόμενον. Ἀλλ' ὅτε ἐβούλετο, ἐνεδίδου τῇ φύσει καιρὸν τὰ ἑαυτῆς ἐνεργῆσαι καὶ ἐνδείξασθαι, ὡσαύτως καὶ τὸν θάνατον ἑκὼν ὑπέμεινε, καὶ αὐτῆς τῆς ὄντως ἀληθείας περὶ αὐτῆς τοῦτο λεγούσης ἀκούετε· « Ἐξουσίαν ἔχω θεῖναι τὴν ψυχήν μου, καὶ ἐξουσίαν ἔχω πάλιν λαβεῖν αὐτήν. Καὶ οὐδεὶς αἴρει αὐτὴν ἀπ' ἐμοῦ. » Ἵνα δὲ σαφέστερα τὰ λεγόμενα κατανοήσητε, ταῦτα προσθήσομαι.

Ὅτι τοῦ Ἀδὰμ τὸ σῶμα καθαρὸν ἀπὸ παντὸς μολύ- C σματος ἔπλασεν ὁ Θεός, ὑπ' οὐδενὸς τῶν φυσικῶν ἀδιαβλήτων παθῶν ἀναγκαστικῶς κυριευόμενον θανάτου τε, καὶ τῶν πρὸ τοῦ θανάτου καὶ μετὰ θάνατον. Ἐκουσίᾳ δὲ γνώμῃ καὶ ἐκουσιότητι τοῦ Ἀδὰμ τὴν θείαν παραβάντος ἐντολὴν, ὑποπεσόντος τε τῇ ἁμαρτίᾳ, καὶ μολυνθέντος, τοῖς φυσικοῖς ἀδιαβλήτοις ἐδουλώθη τε, καὶ κατεκυριεύθη πάθεσι, θανάτῳ τε, καὶ τῆς πρὸ θανάτου, καὶ μετὰ θάνατον. Ὅθεν ὁ Ἀδὰμ πεινῆν, καὶ διψῆν, καὶ θνήσκειν ἀνάγκῃ κατεβιάζετο, καὶ θάνατον ἡ διαφθορὰ τοῦ σώματος αὐτοῦ κατεξουσίαζε, καὶ ὅσα τούτοις ἦσαν ὅμοια. Ὁ μέντοι ἀΐδιος Υἱὸς τὸ Ἀδαμιαῖον ἀνέλαβε σῶμα, τοῦτ' ἔστιν αὐτὸς ἑαυτῷ ἐκ τῶν ἀχράντων αἱμάτων τῆς παναγίας Παρθένου Μαρίας διεπλάσατο καθαρὸν, καὶ παντὸς D μύσους ἁμαρτίας ἐλεύθερον. Ταύτῃ τοι τῷ θανάτῳ κατ' αὐτοῦ κράτος οὐκ ἦν, οὔτε πρὸ θανάτου πεῖνα δή φημι, καὶ τῶν ἄλλων φυσικῶν ἀδιαβλήτων παθῶν ἑσμὸς, ὡς ἀπεδείξαμεν· οὔτε μὴν τῇ μετὰ θάνατον τῶν σωμάτων διαφθορᾷ, ἣν Δαυῒδ ὁ θεοπάτωρ μελῳδῶν προανεφώνησεν, ὅτι « Οὐκ ἐγκαταλείψεις τὴν ψυχήν μου εἰς ᾅδην, οὐδὲ δώσεις τὸν ὅσιόν σου ἰδεῖν διαφθοράν. »

Τί δή μοι τὰ πεπερασμένα ὑποτάττειν, ἀλλὰ μὴ συλλήβδην ἐρεῖν; ὅτι τὸ τοῦ ἀϊδίου Υἱοῦ σῶμα, ἀπαρχῆς τῆς ἑαυτοῦ διαπλάσεως, καὶ τῆς καθ' ὑπόστασιν τοῦ ἀϊδίου Υἱοῦ ἀσυγχύτου ἑνώσεως, τὴν τελειοτάτην ἐθεώθη θέωσιν, καὶ γέγονεν ἀτρέπτως ὅπερ τὸ χρῖσαν, καὶ θαῤῥῶ λέγειν, ὁμόθεον. Ἀλλ' ὁ ἀΐδιος Υἱὸς ἐθέ-

[i] Joan. x, 18. [j] Psal. xv, 10.

λοντι ἐνέδωκεν αὐτῷ διάγειν, κατὰ τὴν τῶν ἀνθρω- A πίνων σωμάτων διαγωγὴν, ἵνα τὸν μὲν διάβολον λάθῃ, τῆς δὲ αὐτοῦ σωτηρίου οἰκονομίας γένηται πίστωσις· καὶ πειραθείη τῶν σκυθρωπῶν, καὶ δέξηται τὰ πάθη, καὶ τὸν θάνατον ὑπὲρ ἡμῶν ὑπομείνῃ ἀληθείᾳ, οὐ φαντασίᾳ. Πληρώσας δὲ πᾶσαν αὐτοῦ τὴν οἰκονομίαν, ἀνέδειξε μετὰ τὴν ἑαυτοῦ ἐκ νεκρῶν ἀνάστασιν ἐν τῇ ἰδίᾳ σαρκὶ τὴν δόξαν τῆς ἑαυτοῦ θεότητος. Ἀλλ' ἵνα μὴ νομιστέον ταύτην τὴν δόξαν, τὴν ἐν τῇ σαρκὶ τοῦ ἀϊδίου Υἱοῦ, μετὰ τὴν ἐκ τάφου ἔγερσιν ἀναδεδειγμένην ἔξωθεν ἐπεισελθεῖν, ἀλλὰ φανέρωσιν εἶναι τῆς ἐν αὐτῇ κεκρυμμένης ἀπ' ἀρχῆς τῆς καθ' ὑπόστασιν ἀσυγχύτου ἑνώσεως· τούτου δὲ μαρτυρία σαφὴς, ὅτε πρὸ τοῦ σωτηρίου πάθους ἔμπροσθεν τριῶν τῶν αὐτοῦ μαθητῶν ἐν ὄρει Θαβὼρ, τὴν ἐν τῇ αὐτοῦ B σαρκὶ θεϊκὴν ἔδειξε δόξαν, ἣν καὶ μετὰ τὴν ἐκ νεκρῶν ἀναφοίτησιν ἐξέφηνεν. Ἐτεθέωτο γὰρ, ὡς προείπομεν, ἡ τοῦ ἀϊδίου σὰρξ, τὴν τελειοτάτην θέωσιν ἀπ' ἀρχῆς τῆς ἑαυτοῦ διαπλάσεως. Ἀλλ' ὁ ἀΐδιος Υἱὸς ἐφῆκεν αὐτὴν διὰ τὴν αἰτίαν, ἧς ἐμνημονεύσαμεν, κατὰ τὴν τῶν ἡμετέρων σωμάτων ἀναστρέφεσθαι βίωσιν.

Αὕτη τοίνυν, ὦ οὗτοι, τῆς ἡμετέρας ὁμολογίας ἡ διατύπωσις, καὶ πλατύτερον ἐδυνάμεθα περὶ αὐτῆς διεξιέναι, ἀλλὰ τὸ τοῦ λόγου παρῄτημαι μῆκος. Διὸ κατανοήσαντες τὰ πρὸς ἡμῖν σημανθέντα, καὶ τῇ κατὰ Χριστὸν ἀγάπῃ προσηχάμενοι, συναρμόσθητε ἡμῖν, καὶ ἑνώθητε, καὶ γενώμεθα πάντες ἓν διὰ τοῦ ἀϊδίου Πνεύματος ἐν τῇ θεοπνεύστῳ τοῦ μεγάλου καὶ κορυφαίου τῶν ἀποστόλων Πέτρου C ὁμολογίᾳ ταύτῃ, ᾗ συνετάξαμεν, ὅπως ἡμῖν ἱλασθῇ Χριστὸς ὁ Θεὸς ἡμῶν, καὶ πᾶσαν ἐναντίαν προσβολὴν, καὶ ἀνιαρὰν ἐπαγωγὴν ἀπώσῃ τε, καὶ εἰς τὴν ὄντως ἡμᾶς μεταστήσῃ μακαριότητα, καὶ ἐν τῇ ἑαυτοῦ συνάψῃ, καὶ συναρμόσῃ βασιλείᾳ. Ἧς γένοιτο πάντας ἐπιτυχεῖν, πρεσβείαις τῆς παναγίας Δεσποίνης ἡμῶν Θεοτόκου Μαρίας, καὶ Ἰωάννου τοῦ Προδρόμου καὶ Βαπτιστοῦ, Πέτρου τε τοῦ κορυφαίου τῶν ἀποστόλων, καὶ Ἰακώβου τοῦ ἀδελφοθέου, καὶ πάντων τοῦ τῶν ἁγίων συστήματος [34].

A nus Filius volens concessit ei degere vitam more corporum humanorum, ut diabolum lateret, et incarnatio ejus salutaris crederetur, et experiri aspera et molesta, et passiones suscipere, ac mortem pro nobis vere, et non ficte subire. Completa autem omni sua dispensatione post resurrectionem a mortuis, ostendit in propria carne gloriam suæ divinitatis. Ne autem existimaremus hanc gloriam, quæ in carne æterni Filii post resurrectionem ostensa est, extrinsecus advenisse, quin potius ostensam esse, quæ in ipsa a principio ipsius secundum hypostasim unionis sine confusione factæ, latebat, testimonium manifestum dedit, quando ante passionem **381** coram tribus discipulis suis in monte Thabor in propria carne sua divinam gloriam ostendit, quam etiam post resurrectionem patefecit. Erat enim, ut jam diximus, caro æterni Filii perfecta deificatione a principio suæ formationis prædita. Sed æternus Filius sivit eam conversari more victus nostrorum corporum, ut jam commemoravimus.

Hæc est, fratres, descriptio nostræ confessionis, quam quidem latius persequi poteramus; sed nolui esse prolixus. Quamobrem, comprehensis mente quæ significavimus, et admissis per charitatem erga Christum, adjungite vos nobis, et copulamini, et efficiamur omnes unum per Spiritum sanctum, in hac divinitus revelata confessione Petri principis apostolorum, cui nos ascripsimus, ut nobis Dominus Deus noster propitius sit, et omnem contrarium incursum et acerbam afflictionem amoveat, et ad veram beatitudinem nos transferat, et in regno suo nos omnes conjungat et aptet. Quam ut assequamur omnes, faxit Deus precibus sanctissimæ Reginæ nostræ Deiparæ Mariæ, ac Joannis præcursoris et Baptistæ, ac Petri summi in apostolis, et Jacobi fratris Domini, et cœtus omnium horum sanctorum. Amen.

V.

Τοῦ αὐτοῦ Θεοδώρου τοῦ Ἀβουκαρᾶ ἐπισκόπου Καρῶν.

Ejusdem Theodori cognomento Abucaræ episcopi Carum.

(Turriano interprete.)

Ἐρώτησις. Διὰ τί λέγομεν, ὅτι ἡ ἀνθρωπότης D τοῦ Χριστοῦ αὕτη ἐστὶν ἡ ἀνθρωπότης Πέτρου, καὶ Παύλου, καὶ τῶν καθέκαστα ἀνθρώπων, οὐ λέγομεν δὲ, ὅτι τὸ σῶμα τοῦ Χριστοῦ, οὗ καὶ μεταλαμβάνομεν, αὐτό ἐστι τὸ σῶμα Πέτρου, καὶ Παύλου, καὶ ἑκάστου ἀνὰ μέρος ἀνθρώπων;

Ἀπόκρισις. Ὅτι τὸ κοινὸν τὸ ὁλικὸν δεχόμενον ἰδίωμα χαρακτηριστικὸν, ὑπόστασις γίνεται. Τὸ δὲ σῶμα τὸ κοινὸν, καὶ ἁπλῶς λεγόμενον δεχόμενον ἰδίωμα χαρακτηριστικὸν, οὐκέτι ὁ δεῖνα λέγεται, ἀλλὰ τοῦ δεῖνος, ἤγουν οὐχ ὑπόστασις γίνεται, ἀλλὰ τῆς ὑποστάσεως· τὸ γὰρ σῶμα μέρος ἐστὶ τῆς

D *Interrog.* Quare, sicut dicimus, Humanitas Christi est ipsa humanitas Petri et Pauli et uniuscujusque hominis, non sic dicimus, Corpus Christi, quod sumimus et participamus, idem est Petri et Pauli, et cujusvis corpus?

Resp. Quoniam commune recipiens totam proprietatem characteristicam, id est, signantem, hypostasis efficitur. Corpus vero commune et simpliciter dictum recipiens proprietatem signantem non amplius dicitur ὁ δεῖνα, *quidam*, sed *cujusdam*, id est, non fit hypostasis sive persona, sed fit per-

VARIÆ LECTIONES.

[34] Ἀμήν. Turr.

sonæ; corpus enim pars naturæ est, non totum. Quamobrem pars non exsistit seorsum et per se, sed dicitur totius.

A φύσεως, καὶ οὐχ ὅλον. Διὸ τὸ μέρος οὐκ ἰδίᾳ ὑφίσταται, ἀλλὰ τοῦ ὅλου λέγεται.

VI

382 *Exemplum, quo ostenditur, quomodo macula peccati Adami universum genus humanum pervaserit.*

Aiunt agricolæ, si accipias palmitem, tinctumque oleo plantes, olei qualitatem in ipsum etiam fructum, hoc est, in uvam redundare. Sic et Adamus cum naturam omnis maculæ expertem accepisset, eam peccato variisque affectionibus contaminavit, cujus contagio ad nos usque manavit.

Παράδειγμα, δι' οὗ ἀποδείκνυται, πῶς ὁ μολυσμὸς τῆς ἁμαρτίας τοῦ Ἀδὰμ εἰς ἅπαν τὸ ἀνθρώπειον διέβη γένος.

Φασὶν οἱ γεηπόνοι, ὅτι ἐὰν λαβὼν κλάδον ἀμπέλου καὶ ἐμβάψας ἐλαίῳ φυτεύσῃς, ἡ ποιότης τοῦ ἐλαίου πᾶσα καὶ ἐν τῷ καρπῷ, ἤγουν ἐν τῇ σταφυλῇ, διαδίδοται, οὕτω καὶ ὁ Ἀδὰμ παραλαβὼν τὴν φύσιν καθαρὰν, ἔχρανεν αὐτὴν τῇ ἁμαρτίᾳ, καὶ τοῖς πάθεσι, καὶ διεδόθη εἰς ἡμᾶς ἡ ποιότης.

Quomodo per incarnationem Salvatoris nostri ad omnes expiatio pervenerit.

Aiunt, si semen peponis melle tinctum seras, dulcedinem mellis in ipsum fructum transire. Ita Christus natura ab oleosa qualitate, nimirum a peccato per sanctum Baptismum expurgata, assumpsit illam absque labe et macula, qualis prius erat, et condita fuerat, eaque melle divinitatis et dulcedine, hoc est virtute Spiritus sancti delibuta, nos etiam dulcedinis participes effecit, quemadmodum grana peponis, quasi per traducem, fructum participem efficiunt.

B *Πῶς δὲ διὰ τῆς ἐνσάρκου τοῦ Σωτῆρος οἰκονομίας εἰς πάντας ἡμᾶς διέβη ἡ κάθαρσις.*

Φασὶ δὲ πάλιν· Εἰ λαβὼν σπέρμα πέπονος, καὶ ἐμβάψας μέλιτι σπείρεις, ἡ γλυκύτης τοῦ μέλιτος καὶ ἐν τῷ καρπῷ διαδίδοται. Οὕτω καὶ ὁ Χριστὸς τὴν φύσιν ἐκ τῆς ἐλαιώδους ποιότητος, ἤγουν ἐκ τῆς ἁμαρτίας ἀποκαθάρας, διὰ τοῦ ἁγίου βαπτίσματος, ἀνέλαβεν αὐτὴν ἀκηλίδωτον καὶ ἄχραντον, οἵα καὶ ἦν, καὶ ἐκτίσθη τὸ πρότερον· καὶ ἐμβάψας αὐτὴν τῷ μέλιτι τῆς θεότητος, γλυκύτητι, ἤτοι τῇ δυνάμει τοῦ Παρακλήτου, μετέδωκεν ἡμῖν τῆς γλυκύτητος, ὡς οἱ κόκκοι τοῦ πέπονος τῷ ἀπ' αὐτῶν καρπῷ, καὶ κατὰ διαδοχήν.

VII.

Theodori episcopi Carum de luctatione Christi cum diabolo.

Τοῦ αὐτοῦ Θεοδώρου ἐπισκόπου Καρῶν, περὶ τῆς πάλης τοῦ Χριστοῦ μετὰ διαβόλου.

(Francisco Turriano interprete.)

Interrog. Christus Deus cum diabolo luctatus, vicit eum: quid magnum fecit? dicet diabolus. Ego hominem vici; et a Deo victus sum. Quam utilitatem reportavit natura nostra ex victoria Dei?

Resp. Jacobitæ Deum Verbum simpliciter aiunt luctatum esse; Nestoriani contra, hominem simpliciter, et solum. Ecclesia vero, quæ media via et regia ingreditur, Verbum in carne cum diabolo luctatum esse docet. Quod si, ut Nestoriani aiunt, homo erat, qui vicit, et qui interfectus fuit, nihil nobis profuit mors hominis. Omitto nunc dicere, quam multis erroribus labi necesse est, priusquam ab eis doceri possit, hominem solum vicisse. Sin autem est, ut Jacobitæ dicunt, nihil ad nos mors Christi, si Deus simpliciter vicit. Sed quia propria vitæ compositio et ordinatio Adæ, ad Adam, et ad posteros ejus **383** pertinebat, cum videret illam diabolus a se victam esse, non personam Adæ et reliquos homines victos esse reputavit, sed ipsam naturam. Sic enim aiebat: Quia Deus creavit hominem, qui neque mihi, neque peccato resistere posset, idcirco Deus Verbum, assumpta natura humanitatis perfecta, usus est libera ejus voluntate, et sensibus, et naturalibus potentiis omnibus conve-

C *Ἐρώτησις*. Χριστὸς Θεὸς ὢν, καὶ πρὸς τὸν διάβολον παλαίσας, ἐνίκησεν, τί δὴ μέγα πεποίηκεν; Ἐρεῖ γὰρ ὁ διάβολος, ὅτι Ἄνθρωπον ἐνίκησα, καὶ ὑπὸ Θεοῦ ἐνικήθην, τί δὲ καὶ ὠφελήθη ἡ φύσις ἡμῶν τοῦ Θεοῦ νενικηκότος;

Ἀπόκρισις. Οἱ μὲν Ἰακωβῖται τὸν Θεὸν Λόγον ἁπλῶς λέγουσι πεπαλαικέναι, καὶ νενικηκέναι· οἱ δὲ Νεστοριανοὶ τοὐναντίον, τὸν ἄνθρωπον ἁπλῶς καὶ μόνον. Ἡ δὲ Ἐκκλησία, τὴν μέσην καὶ βασιλικὴν ὁδὸν διανύουσα, τὸν Θεὸν Λόγον, σαρκὶ τὴν πάλην ποιήσασθαι μετὰ τοῦ διαβόλου διδάσκει. Καὶ εἰ μὲν, ὡς οἱ Νεστοριανοὶ λέγουσιν, ἦν ἄνθρωπος ὁ νενικηκὼς καὶ ἀναιρεθεὶς, οὐθὲν ἡμᾶς ὠφέλησεν ἀνθρώπου θάνατος. Ἐῶ γὰρ λέγειν νῦν, ὅτι πολλὰ προσκόψουσιν, πρὶν ἢ ἀποδεῖξαι, δυνατὸν εἶναι, ἄνθρωπον
D ψιλὸν νενικηκέναι. Εἰ δὲ, ὡς οἱ Ἰακωβῖταί φασιν ἔστιν, οὐδὲν πρὸς ἡμᾶς τοῦ Θεοῦ ἁπλῶς νενικηκότος. Ἀλλ' ἐπειδὴ ἰδιορυθμία [33] τὸν Ἀδὰμ νέμειν, καὶ τοὺς μετέπειτα ἀνθρώπους, ὁρῶν ὁ διάβολος ὑπ' αὐτοῦ ἡττημένην, οὐ τῇ ὑποστάσει τοῦ Ἀδὰμ, καὶ τῶν λοιπῶν ἀνθρώπων ἐλογίζετο τὴν ἧτταν, ἀλλ' αὐτῇ τῇ φύσει, λέγων· Ὅτι ἔπλασεν ὁ Θεὸς πλάσμα μὴ δυνάμενον πρός με καὶ τὴν ἁμαρτίαν ἀντιστῆναι, τούτου χάριν ὁ Θεὸς Λόγος, τὴν φύσιν τῆς ἀνθρωπότητος τελείαν ἀναλαβὼν, ἐχρήσατο τῷ αὐτ-

VARIÆ LECTIONES.

[33] Videtur legendum: ἐπεὶ ἔδει ἰδιορυθμίαν.

ἐξουσίῳ αὐτῆς θελήματι, ταῖς τε αἰσθήσεσι, καὶ ταῖς φυσικαῖς δυνάμεσι πάσαις κατὰ φύσιν, καὶ κατὰ τὸ δέον, καὶ κατὰ τὸ βούλημα τοῦ Θεοῦ, καὶ οὕτως ἐνίκησεν τὸν διάβολον, οὐ δύναμιν θεϊκὴν, καὶ περισσοτέραν τῆς φύσεως προσθεὶς, καὶ ἐπιχορηγήσας ἐν τῇ πάλῃ, ἀλλὰ πρὸς τὸ ἁρμόζον καὶ τῷ Θεῷ νόμῳ συνᾷδον χρησάμενος τοῖς φυσικοῖς, καὶ ῥυθμίσας πάντα τὰ τῆς φύσεως μέρη, καὶ δυνάμεις, καὶ ὄργανα, κατὰ τὸ προσῆκον, κατὰ τὰ μέτρα τῆς ἀνθρωπότητος, καὶ οὕτως ἐνίκησεν, καὶ ἀπέδειξεν τὴν φύσιν νικηφόρον, καὶ τῇ φύσει λοιπὸν ἡ νίκη, καὶ ἡ δικαίωσις λογίζεται.

B. Εἰπέ μοι, ὁ ἀνθρώπινος νοῦς, αὐτὸς ἦν ὁ παλαίων πρὸς τὸν διάβολον, ἢ ἁπλῶς εἰπεῖν, αὐτοκίνητος ἦν ἢ ἑτεροκίνητος;

A. Ὥσπερ οὐ λέγεται ὁ σὸς νοῦς, ἢ πούς, ἢ χεὶρ κινεῖσθαι· σὺ γὰρ ὁ τὸν σὸν νοῦν, καὶ τὰ μέλη, καὶ τὰς δυνάμεις κινῶν, καὶ ῥυθμίζων, ὡς βούλει· οὕτω καὶ ὁ Θεὸς Λόγος, αὐτὸς ἦν, ὁ τὸν ἴδιον ἀνθρώπινον νοῦν, καὶ τὰς αἰσθήσεις, καὶ φυσικὰς ἕξεις, καὶ δυνάμεις κινῶν, καὶ διακυβερνῶν, ὡς βούλεται, πρὸς τὸ εἰρημένον παρὰ σοῦ, ὅτι αὐτοκίνητος, ἢ ἑτεροκίνητος ὁ νοῦς τοῦ Χριστοῦ· τοῦτό φαμεν, ὡς ἔχει ἡ φύσις, ἤτοι καὶ ἡ ψυχὴ, καὶ τὸ σῶμα, καὶ τὰ τούτου μέρη, καὶ αἰσθητήρια, ἕκαστον ἰδίαν τινὰ ἁπλῆν καὶ φυσικὴν κίνησιν. Εἰ μὴ γὰρ ἔχουσι ταῦτα κατὰ φύσιν τινὰ κίνησιν, οὐκ ἂν ἡμεῖς δυνηθείημεν αὐτὰ κινῆσαι. Τὴν οὖν φυσικὴν καὶ ἁπλῆν κίνησιν ἡμεῖς παραλαμβάνοντες, κινοῦμεν καὶ ῥυθμίζομεν αὐτὴν, ὡς ἂν βουλοίμεθα, καλῶς, ἢ κακῶς. Οἷον ἔχουσι τὴν βαδιστικὴν κίνησιν φυσικῶς οἱ πόδες· ἐγὼ δὲ κέχρημαι τῇ βαδίσει, ὡς βούλομαι. Ἔχουσιν οἱ ὀφθαλμοὶ τὸ ἁπλῶς ὁρᾷν· ἐγὼ δὲ, ὡς βούλομαι, κέχρημαι τῇ ὁράσει. Τὸ οὖν ὁρᾷν ἐκ τῆς φύσεως ἔχω· τὸ δὲ, πῶς ὁρᾷν, ἐξ ἐμαυτοῦ ἐστιν. Ὡσαύτως καὶ ἐπὶ τῆς θελήσεως, καὶ τῶν λοιπῶν τῆς φύσεως μερῶν, καὶ ἐπὶ αὐτοῦ τοῦ νοῦ. [36] Ἔχει γὰρ καὶ αὐτὸς φυσικῶς τὸ ἁπλῶς λογίζεσθαι, καὶ τοῦτο, ἢ τοῦτο· ἐγὼ δὲ τῇ τοιαύτῃ φυσικῇ δυνάμει τοῦ νοῦ κέχρημαι, ὡς βούλομαι κατὰ γνώμην, ἤτοι καλὰ, ἢ κακὰ λογιζόμενος, καὶ κατεργαζόμενος τὴν τοῦ νοῦ δύναμιν, εἰς ὅπερ ἐφίεμαι. Τὸ γοῦν ἁπλῶς κινεῖσθαι, κατὰ τὴν ἰδιότητα ἑκάστου μέρους τῆς φύσεώς ἐστι· τὸ δὲ πῶς κινεῖσθαι, τῆς ὑποστάσεως. Οὕτω καὶ ἐπὶ Χριστοῦ νόει. Ὥσπερ λέγεται ὁ τέκτων τῇ ἰδίᾳ χειρὶ πεποιηκέναι τὸν θρόνον, καὶ λέγομεν, ὅτι ἡ χεὶρ τοῦ τέκτονος τὸν θρόνον πεποίηκεν· οὕτω φαμὲν, καὶ τὸν Θεὸν Λόγον νενικηκέναι τῇ σαρκὶ, καὶ τὴν σάρκα λέγομεν πάλιν νενικηκέναι ἤτοι τὴν φύσιν τῆς ἀνθρωπότητος.

B. Πῶς ὁ Ἀδὰμ ἡττήθη; οὐχὶ διστάσας, μᾶλλον δ' ἀπιστήσας τῷ λόγῳ τοῦ Θεοῦ, καὶ πιστεύσας τῷ διαβόλῳ;

A. Τὸ λεῖον τῆς ἡδονῆς ἔθελξεν αὐτὸν πρῶτον τῆς ἐπιθυμίας, εἶτα ἐδίστασεν. Εἰ γὰρ μὴ καλὸν ἦν,

A nienter naturæ, et ut oportebat, ac secundum voluntatem Dei; atque ita vicit diabolum, non opposita et suppeditata in luctatione, divina virtute, ampliore, quam naturali, sed ut decebat Deum, et legem, usus naturalibus, et omnibus naturæ partibus, et potentiis, et organis sic compositis, sicut conveniebat, ut mensura humanitatis postulabat (43). Atque ita vicit, et ostendit naturam victricem, et naturæ deinceps victoria, et justificatio attribuitur.

B. Dic mihi, ipsa mens humana, quæ cum diabolo luctabatur, movebaturne a se, an ab alio?

B A. Sicut non dicitur mens tua, aut pes, aut manus moveri; tu enim es qui mentem tuam, et membra, ac potentias moves et moderaris sicut vis: sic Deus Verbum ipse erat qui propriam mentem humanam, et sensus, et naturales habitus, ac potentias movebat et gubernabat ut volebat. Quod autem quærebas, utrum mens Christi a se an ab alio moveretur, respondemus quod mens, et anima (44), et corpus, et partes corporis, et sensus, unumquodque horum proprium quemdam et simplicem ac naturalem motum habet. Si enim non haberent hæc secundum naturam motum aliquem non possemus nos naturali et simplici motu moveri, quem nos suscipimus, et eo movemur, et moderamur eum, ut volumus, bene vel male. Verbi C gratia, habent pedes facultatem insitam ad ambulandum; ego vero utor ingressu, ambulatione, ut volo. Habent oculi facultatem videndi simpliciter, ego vero aspectu, ut libet, utor. Ut igitur videam, a natura habeo, quomodo autem videam, ex me est. Similiter fit in voluntate, et in reliquis partibus naturæ, et in ipsa mente. Utor, ut volo, et secundum sententiam, id est, honesta, aut prava, potestate mentis cogito, et operor. Quod igitur diximus, simpliciter moveri secundum proprietatem cujusque **384** partis, naturæ est; quomodo autem quis moveatur, personæ est. Sic in Christo intellige. Sicut dicitur faber lignarius fecisse propria manu sedile; et dicimus item manum fabri D lignarii fecisse sedile; sic dicimus Deum Verbum vicisse carne; et rursus dicimus carnem vicisse, id est, naturam humanitatis (45).

B. Quomodo Adam victus est? nonne dubitans? imo potius non credens verbo Dei, et credens diabolo?

A. Blanditia ipsius voluptatis primum delinivit eum cupiditate; deinde dubitavit. Nisi pulchrum ei

VARIÆ LECTIONES.

[36] Desideratur in codice Turr.

NOTÆ.

(43) Id est, natura humana in Christo semper fuit intra mensuram suam.

(44) Videtur hic legisse Turr. Ὁ νοῦς, καὶ ἡ ψυχή.

(45) Naturam humanitatis in hypostasi dicit

visum esset, quod interdictum erat, nunquam mentem suam decepisset. Et adverte quod dico, si diabolus ostendisset ei lignum, unde sumpsit vetitum cibum, tetro odore, et spinosum, et amarum, dixissetque : Si ex hoc comederis, eris Deus, nunquam sine probatione et indagatione locum fallaciæ ejus dedisset. Quin potius curiose de ea re inquisivisset, ac respondens dixisset : Unde hoc scis ? aut unde mihi hoc probas, et me certum reddis ? et denique nunquam sine vera demonstratione fidem verbis ejus adhibuisset. Postquam vero cupiditas eum mollivit, fefellit ipse suam cogitationem. Sic evenit iis qui pseudoprophetam Agarenorum secuti, crediderunt ei, concessis et promissis voluptatibus decepti. Cum enim multa spolia, et legem remissam et relaxatam, et eorum cupiditatibus jucundam, dedisset, facile conscientiam propriam fatue deceperunt, credideruntque prophetam Dei esse et apostolum. Etenim, nisi proposuisset quæ eis jucunda essent, sed potius molesta et difficilia, statim austere et sine ullo pudore respondissent : Unde nobis suades esse te a Deo missum ? et quomodo fidem facis? exegissentque ab eo perspicuas eorum, quæ dicebat, rationes. Et ut uno verbo dicam, cum ægrotat ea pars qua cupimus, tunc mentem trahit et ad assensionem illicit.

A μήτε ὡραῖον ἐφάνη αὐτῷ τὸ ἀπηγορευμένον φυτὸν, οὐκ ἂν ἑαυτὸν ἐφρεναπάτησεν, καὶ τὸν λόγον τοῦ ἐχθροῦ παρεδέξατο. Καὶ πρόσχες ᾧ λέγω· εἰ ὑπέδειξεν αὐτῷ ὁ διάβολος φυτὸν δυσῶδες, ἀκανθῶδες, καὶ πικρὸν, καὶ εἶπεν αὐτῷ· Εἰ φάγοις ἀπὸ τούτου, ἔσῃ Θεός· οὐκ ἂν ἀναποδείκτως καὶ ἀνεξετάστως παρεδέξατο τὴν ἀπάτην. Ἀλλ' ἐπολυπραγμόνησεν ἂν ἀποκρινόμενος, καὶ λέγων· Πόθεν σοι τοῦτο τὸ εἰδέναι, ἢ πόθεν μοι παρέχεις τὴν τοιαύτην πληροφορίαν, καὶ ἀπόδειξιν; καὶ ἁπλῶς οὐκ ἄν ποτε ἐπείσθη ἄνευ ἀπαραλογίστου ἀποδείξεως τὸν λόγον αὐτοῦ παραδέξασθαι. Ἐπειδὴ δὲ ἡ ἐπιθυμία ἐχαύνωσε, τὸν ἑαυτοῦ λογισμὸν παρελογίσατο. Οὕτω καὶ οἱ τῷ ψευδοπροφήτῃ τῶν Ἀγαρηνῶν ἠκολουθηκότες πεπιστεύκασιν αὐτῷ, ταῖς δεδομέναις αὐτοῖς καὶ B ἐπηγγελμέναις ἡδοναῖς φεναχισθέντες· λάφυρα γὰρ πολλὰ, καὶ σκῦλα, καὶ νόμον ἀνειμένον, καὶ ταῖς ἐπιθυμίαις αὐτῶν καταθύμιον δεδωκότος αὐτοῖς, ἐμώραναν, καὶ ἐξηπάτησαν τὴν ἰδίαν συνείδησιν, καὶ ἐπίστευσαν, ὅτι προφήτης ἐστὶ, καὶ Θεοῦ ἀπόστολος. Ἐπεὶ εἰ μηδὲν προέτεινεν ἐκ τῶν ἐφέσεων αὐτῶν, ἀλλὰ λυπηρά τινα, καὶ ἐργώδη αὐτοῖς προεβάλετο, εὐθὺς ἂν αὐστηρῶς αὐτῷ, καὶ ἰταμῶς ἀπεκρίναντο· Καὶ πόθεν ἡμᾶς πείθεις, ὅτι σε ὁ Θεὸς ἀπέσταλκεν; καὶ τίνα πίστωσιν δίδως; καὶ ἂν αὐτὸν εἰσεπράξαντο ἐναργεῖς, ὧν λέγῃ, τὰς ἀποδείξεις. Καὶ ἁπλῶς εἰπεῖν, ἐπεὶ πάντως τὸ ἐπιθυμητικὸν νοσεῖ, καὶ τότε τὸν νοῦν ἐπισπᾶται, καὶ δελεάζει πρὸς συγκατάθεσιν.

B. Poteratne qui erat secundum hypostasim unitus Deo, et caro illa trahi omnino voluptatibus illius, qui tentabat, et mundi?

A. Non potuisse dicimus, non propter infirmitatem et debilitatem, sed propter **385** convenientiam rationis et decentiæ ; sicut dicimus non posse Deum injuriam facere.

B. Ἠδύνατο ὁ ἡνωμένος καθ' ὑπόστασιν τῷ Θεῷ C Λόγῳ καὶ ἡ σὰρξ ἐκείνη συναπαχθῆναι ὅλως ταῖς τοῦ πειράζοντος ἡδοναῖς, καὶ τοῦ κόσμου;

A. Τὸ μὴ δύνασθαι ὧδε οὐ κατὰ τὸ ἀσθενὲς, καὶ ἀνένδεκτον, καὶ ἀνεγχώρητον, ἀλλὰ κατὰ τὸ εὔλογον, καὶ εὐπρεπὲς, ὡς καὶ ἐπὶ τοῦ Θεοῦ φαμεν, ὅτι οὐ δύναται ἀδικῆσαι.

VIII.

Interrogatio Arabum contra Christianum.

A. Christ. B. Arab.

B. Dic mihi, estne Christus Deus tuus ?

A. Maxime.

B. Habesne alium Deum præter eum ?

A. Nequaquam.

B. Igitur Pater et Spiritus sanctus exciderunt tibi.

A. Audi etiam me. Sit, exsistatque hic scriptura vestra, quam dicitis e cœlo descendisse, percontor a te, habesne aliam præter hanc ?

B. Respondeo, nullam aliam habere.

A. Negas igitur omnem aliam ?

B. Maxime.

A. Quid ? Si adsit alius liber, qui eamdem scripturam habeat, negas scripturam illam ?

B. Non est alia, et alia scriptura, sed eadem ; tametsi in alio libro posita est.

A. Sic ego etiam dico, non est Pater et Spiritus sanctus aliud et aliud præter Filium, quamvis in alia et alia hypostasi reperitur.

Ἐρώτησις Ἀράβων πρὸς Χριστιανόν.

A Χριστιανὸς, B Ἄραψ.

B. Εἰπέ μοι, ὁ Χριστὸς Θεός σού ἐστιν;

A. Ναί.

B. Ἔχεις οὖν ἕτερον Θεὸν πλὴν αὐτοῦ;

A. Οὐχί.

B. Οὐκοῦν ὁ Πατὴρ καὶ τὸ Πνεῦμα διαπεπτώκα-
D σίν σοι.

A. Ἄκουε καὶ σὺ παρ' ἐμοῦ. Παρέστω ἐνταῦθα καθ' ὑπόστασιν ἡ ὑμετέρα γραφὴ, ἡ ἐκ τοῦ οὐρανοῦ, ὥς φατε, κατελθοῦσα· ἐρωτήσω δέ σε, ἔχεις ἄλλην γραφὴν πλὴν ταύτης;

B. Ἀποκρινοῦμαί σοι λοιπὸν μὴ ἔχειν.

A. Οὐκοῦν ἀρνῇ πᾶσαν ἑτέραν γραφήν;

B. Ναί.

A. Τί οὖν; Εἰ παρείη ἄλλη βίβλος, τὴν αὐτὴν γραφὴν ἔχουσα, ἀρνῇ τὴν γραφὴν ἐκείνην;

B. Οὐκ ἔστιν ἄλλη, καὶ ἄλλη γραφὴ, ἀλλ' ἡ αὐτὴ, εἰ καὶ ἐν ἄλλῃ καὶ ἄλλῃ καθέστηκεν βίβλῳ.

A. Ἀλλὰ κἀγὼ λέγω, ὅτι οὐκ ἔστιν ὁ Πατὴρ, καὶ τὸ Πνεῦμα ἄλλο, καὶ ἄλλο παρὰ τὸν Υἱὸν, εἰ καὶ ἐν ἄλλῃ, καὶ ἄλλῃ ὑποστάσει εὑρίσκεται.

IX.

Ἐρώτησις Ἀγαρηνοῦ πρὸς τὸν αὐτόν.

(Turriano interprete.)

Α. ὁ Χριστιανός. Β. ὁ Ἀγαρηνός. A

Β. Εἰπέ μοι, οἱ Ἰουδαῖοι τὸν Χριστὸν, ὃν Θεὸν σὸν εἶναι λέγεις, σταυρώσαντες, βουλομένου αὐτοῦ, ἢ μὴ βουλομένου, τοῦτο πεποιήκασιν;

Α. Βουλομένου.

Β. Οὐκ οὖν μόνον εἰσὶν ἀνεύθυνοι, ἀλλὰ καὶ εὐχαριστηθῆναι παρ' ὑμῶν ὀφείλουσιν.

Α. Ἀπόκριναί μοι, ἀντερωτῶντί σε· ἐγὼ βλασφημῶν καθ' ἑκάστην ἡμέραν, ὡς σὺ λέγεις, εἰς τὸν Θεόν σου, ἄκοντος αὐτοῦ τοῦτο πράσσω, ἢ ἑκόντος; εἰ μὲν γὰρ ἄκοντος, ἀσθενής ἐστιν· εἰ δὲ ἑκόντος, οὐ μόνον οὐκ ὤφειλεν τέλη, καὶ φόρους ἀπαιτεῖσθαι παρ' ἐμοῦ, ἀλλὰ δῶρα κομίζεσθαι, ἅτε βούλημα τοῦ Θεοῦ σου πληρῶν. Ἔτι μοι ἀπόκριναι· ἡνίκα ταῖς Ῥωμαϊκαῖς ἐπιβατεύσοιτε χώραις, εἴ τις ἐξ ὑμῶν αὐτόθι φονευθῇ, οὐκ εἰς τὸν παράδεισον πορεύεται B πάντως ὡς ὑμεῖς δογματίζετε;

Β. Ναὶ πάντως.

Α. Εἰ οὖν σου ἅμα τῷ σῷ [37] γνησίῳ ἀδελφῷ πεπορευμένου, καὶ ἐπιστρατευσαμένου τοῖς τῶν Ῥωμαίων τὸν σὸν υἱὸν [38] ἀνεῖλεν, ἆρα τὸν αὐτὸν ἀνελόντα ὡς ἐχθρὸν ἀμύνεσθαι, καὶ ἀνταναιρεῖν ἔμελλες, ἢ ὡς εὐεργέτην τιμᾷν, καὶ ἀσπάζεσθαι καὶ καταφιλεῖν;

Β. Πάντως ἂν ἀπέκτεινα αὐτὸν μυριάκις, καὶ μεληδὸν κατέτεμον, εἴγε δυναίμην.

Α. Καὶ πῶς τὸν αἴτιον τῆς τοιαύτης σωτηρίας καὶ τρυφῆς τῷ σῷ γεγενημένον [39] ἀδελφῷ, δίκαιον κρίνεις ἀνελεῖν; Εἰπὲ δέ μοι καὶ ἕτερον πρᾶγμα· εἰ κατὰ τὸν σὸν ὀφθαλμὸν εἶχες μώλωπα λίαν ὀδυνηρὸν καὶ C θανάσιμον· ἠθέλησε δέ τις τῶν σῶν ἐχθρῶν καιρίαν σοι δοῦναι πληγὴν, καὶ θᾶττόν σε τῆς ζωῆς ἀπαλλάξαι εὐκαιρίας δραξάμενος, ἐπήγαγεν δέ σοι τὴν πληγὴν, οὐκ ἐν ἄλλῳ μέρει τοῦ σώματος, ἀλλ' ἢ κατὰ τὸν τετραυματισμένον ὀφθαλμὸν, ἵνα σε, καθὼς ἔφην, ταχύτατα τοῦ ζῆν ἀπαλλάξῃ ἐκ τοῦ συμβεβηκότος πληγεὶς ὀφθαλμὸς, ἔρευσε πύα, καὶ ἰχῶρας, καὶ ὑγρὰν σηπεδόνα· σὺ δὲ τῆς ἀλγηδόνος ἀπαλλαγεὶς διὰ τῆς πληγῆς ἐκείνης τελείως ὑγίανας, ὡς φίλον ἄρα καὶ εὐεργέτην, τὸν δεδωκότα σοι τὴν πληγὴν ἑώρας ἐχθρὸν, οὐ πρὸς τὴν προαίρεσιν αὐτοῦ ἀποσκοπήσας, ἀλλὰ πρὸς τὸ ἀπροαιρέσεως [40] αὐτοῦ μὴ θέλοντος συμβὰν ἔστεργες, καὶ εὐηργέτεις;

Β. Ἀλλὰ καὶ κατὰ μέλος αὐτὸν ἐτιμωρούμην, εἰ δύναμιν εἶχον, καὶ ὡς ἔχθιστον καὶ δυσμενέστατον D ἤταζον.

Α. Οὕτω καὶ περὶ ὧν ἡμᾶς ἄκοντας οἱ Ἰουδαῖοι εὐεργέτησαν διανοοῦ.

Quæstio ab Agareno Abucaræ proposita.

A. Christianus. B. Agarenus.

B. Dic mihi, Christum, quem tu dicis Deum tuum esse, cum cruci affixerunt Judæi, feceruntne hoc, ipso volente, an non volente?

A. Volente.

B. Non solum igitur sunt nullius pœnæ rei, sed potius habendæ sunt eis gratiæ.

A. Responde mihi rursus percontanti, ego cum quotidie Deum tuum, ut tu ais, blasphemiis afficio, facio hoc invito eo, an non invito? si enim invito, infirmus et imbecillis est; sin autem volente, non solum non debet a me pro eo tributum exigi; sed potius munera deberem ferre, quippe qui voluntatem Dei tui expleam. Responde adhuc mihi, cum vos ad regiones Romanorum profecti estis, si quis ex vestris ibi **386** interfectus est, nonne, ut vos docetis et traditis, in paradisum ingreditur?

B. Ita sane est.

A. Si igitur tu cum fratre tuo et filio illuc profectus esses, et ibi militasses, ac postea aliquis Romanus fratrem tuum, aut filium occideret, an tu illum qui occidit, tanquam inimicum ulcisci deberes, an potius tanquam beneficum honorare, amplecti et exosculari?

B. Imo vero millies sane occidissem, et membratim discerpsissem si potuissem.

A. Et quomodo æquum esse judicas, eum occidere, qui fuit causa filio, aut fratri tuo, tantæ ac talis salutis ac voluptatis? Responde mihi rursus, si haberes in oculo tuo cicatricem, quæ te dolore afficeret, et mortifera esset, velletque aliquis inimicus tuus plagam tibi infligere mortiferam, et vitam adimere, et opportunitatem nactus, non in aliam partem corporis, quam in oculum vulneratum plagam impingeret, ut te cito, ut dixi, morte afficeret; accideret autem, ut oculus plaga accepta, putrem humorem emitteret, tu vero et dolore liberatus, et oculi sanitatem integram assecutus esses, nunquid tanquam amicum, et bene de te meritum eum aspiceres, qui percussit, et intuens non quidem in voluntatem, quam ille habuit, sed in id quod præter voluntatem illius accidit, amares et munerares? an vero inimicum duceres?

B. Imo magno supplicio afficerem, si possem, et tanquam inimicissimum et maxime malevolum cruciarem.

A. Sic cogita de iis beneficiis, quæ nobis inviti Judæi attulerunt.

X.

Πρὸς Ἰουδαῖον ὁ αὐτὸς διελέχθη.

(Turriano interprete.)

Α. ὁ Χριστιανός, Β. ὁ Ἰουδαῖος.

Β. Ἐγώ σοι, φησὶν, ἐκ τῶν Γραφῶν διαλέγομαι, οὐδὲν γὰρ ἕτερον οἶδα παρὰ ταύτας.

Ejusdem Theodori dissertatio cum Judæo.

A. Christianus. B. Judæus.

B. Ego, inquit Judæus, ex Scripturis tecum disputo; nihil enim aliud scio præter has.

VARIÆ LECTIONES.

[37] υἱῷ καί. [38] ἀδελφόν. [39] υἱῷ ἤ. [40] Γ. ἀπροαιρέτως.

πατρός σου. Καὶ αὐτὸς, καὶ τὸ σπέρμα σου κυριεύσει A αὐτῶν. » Πῶς εἶπεν, *Οἱ ἀδελφοί σου*, πληθυντικῶς; καίτοιγε οὐκ ἔσχεν εἰ μὴ ἕνα ἀδελφὸν τὸν Ἡσαῦ· ποῦ δὲ καὶ προσεκύνησεν ὁ Ἡσαῦ τῷ Ἰακώβ; τοὐναντίον δὲ μᾶλλον ὁ Ἰακὼβ ἑπτάκις ἐπὶ τὴν γῆν προσεκύνησεν τῷ Ἡσαῦ, καὶ δεσπότην ἐκάλεσεν· καὶ δεδοικὼς, καὶ τρέμων αὐτὸν διετέλεσεν ὅλον τὸν βίον αὐτοῦ. Ἀλλὰ, καὶ μετὰ τοσαῦτα ἔτη ἐξελθόντων αὐτῶν ἐξ Αἰγύπτου, ἐδήλωσεν Μωϋσῆς τῷ πρώτῳ καὶ ἄρχοντι τῶν υἱῶν Ἡσαῦ, ὅτι « Ἀδελφοὶ ὑμῶν ἐσμεν· μηνύσατε ἡμῖν διαβῆναι μόνον διὰ τῆς γῆς ὑμῶν· ὁδῷ βασιλικῇ πορευσόμεθα· οὐκ ἐκκλινοῦμεν δεξιὰ καὶ ἀριστερά· ἀλλὰ τὸ ὕδωρ καὶ τὸν ἄρτον τιμῆς ἀγοράσομεν, ἕως ἂν διαβῶμεν εἰς τὴν γῆν, ἣν ἔδωκεν ἡμῖν ὁ Θεός. » Καὶ ἀντεδήλωσεν αὐτοῖς, ὅτι « Οὐχί· ἐὰν διαβῆτε διὰ τῆς γῆς μου, ἐξελευσόμεθα, B καὶ ἀποκτενοῦμεν ὑμᾶς. » Καὶ οὐκ ἀνέτρεψεν τοῦτο ὁ Θεὸς, ἀλλὰ καὶ μᾶλλον ὑπεκύρωσεν, καὶ ἀντέσχυρεν λέγων, ὅτι « Τὴν γῆν ταύτην, ἣν δέδωκα τῷ Ἡσαῦ, μὴ πλησιάσητε αὐτοῖς, » καὶ τὰ ἑξῆς. Ποῦ οὖν ἐπλήρωσεν ὁ Θεὸς τῷ Ἰακὼβ, ἃ εἶπεν, ὅτι « Προσκυνήσουσί σοι υἱοὶ τοῦ πατρός σου, καὶ οἱ ἀδελφοί σου, καὶ σὺ, καὶ τὸ σπέρμα σου κυριεύσει αὐτῶν, » καὶ τὰ τοιαῦτα; Ὁρᾷς, ὦ Ἰουδαῖε, ὅτι πανταχοῦ τὸν Θεὸν ψεύστην ποιεῖς διὰ τῆς κακῆς ἑρμηνείας σου καὶ ἀσυνεσίας; Οὐχὶ δὲ τῷ Ἰακὼβ φανεὶς ὁ Θεὸς, ἡνίκα ἐπάλαισεν μετ' αὐτοῦ, εἶπεν αὐτῷ, ὅτι « Ἀπὸ τοῦ νῦν οὐκέτι κληθήσεται τὸ ὄνομά σου Ἰακὼβ, ἀλλὰ Ἰσραήλ; » καὶ μυριάκις μετὰ C ταῦτα καὶ ὁ Θεὸς, καὶ ἡ Γραφὴ, καὶ αὐτὸς ἑαυτὸν Ἰακὼβ ἐκάλεσεν. Τί οὖν οὐ διαπεπτώκασιν, καὶ οὕτως εἰσὶν ἀβέβαιοι οἱ λόγοι τοῦ Θεοῦ;

B. Ἀλλ' ἐγὼ, φησὶν, εἰμὶ ὁ υἱὸς τοῦ Ἰσραὴλ, καὶ ἐμοὶ αἱ ἐπαγγελίαι.

A. Οὐχί· ἀλλ' ἐγώ εἰμι ὁ τοῦ Ἰσραὴλ υἱός. Ἐν τίνι γὰρ ἐπὶ τῷ Ἰσραὴλ ἐγκαυχᾶσαι; ὅτι τὴν τρίχα ἔσχεν οὔλην, ἢ τὸ σῶμα μέγιστος παρὰ τοὺς ἄλλους ἦν, ἢ κράτιστος, ἢ παρηλλαγμένην ἔσχεν μορφήν;

B. Οὐχί· ἀλλ' ὅτι θεοσεβὴς ἦν.

A. Πᾶς οὖν θεοσεβὴς, καὶ θεοφιλὴς [41], τοὺς τρόπους Ἰσραὴλ σέβων καὶ ἀγαπῶν, λέγω, ὅτι Υἱός εἰμι τοῦ Ἰσραὴλ ἐξομοιούμενος αὐτῷ τοῖς τρόποις καὶ τῇ πίστει. Ὥσπερ γὰρ αἱ εὐλογίαι ἦσαν τοῦ Ἡσαῦ τοῦ πρω- D τοτόκου, ἐλθὼν δὲ Ἰακὼβ, καὶ εἰπὼν τῷ πατρὶ αὐτοῦ· « Ἐγώ εἰμι Ἡσαῦ, » μὴ ὢν Ἡσαῦ, τὰς εὐλογίας ἔλαβεν, καὶ οὐ μετέτρεψεν αὐτὰς Ἰακὼβ οὐδὲ μετὰ τὸ νοῆσαι τὴν ἀπάτην· οὕτω κἀγώ σοι λαμβάνω τὰς ἐπαγγελίας λέγων, υἱὸς ὑπάρχειν τοῦ Ἰσραήλ.

A bunt te filii patris tui; et ipse, et semen tuum, dominaberis eis [o]. » Quomodo dixit, *fratres tui*, numero plurium, cum non habuerit, nisi unum fratrem Esau? ubi autem adoravit ipse Esau Jacob? imo contra potius septies ipse Jacob humi stratus adoravit Esau, et dominum eum vocavit [p]; et universo vitæ suæ tempore eum timuit. Et non solum hæc, sed post tot annos post exitum Hebræorum ex Ægypto, aperte dixit Moyses principi filiorum Esau: « Fratres vestri sumus, significate nobis, ut transeamus per terram vestram, via regia gradiemur; non declinabimus nec ad dextram, nec ad sinistram; sed panem et aquam pretio ememus, donec perveniamus in terram quam dedit nobis Deus [q]; » et contra significavit eis clare inquiens: « Minime, sin autem B transieritis, ex terra mea egrediemur, et occidemus vos [r]. » Et non invertit hoc Deus, sed potius confirmavit et roboravit Deus inquiens: « Terram hanc dedi Esau, ne appropinquetis ei [s], » et quæ sequuntur. Ubi igitur implevit Deus quæ dixerat ipsi Jacob: « Filii patris tui adorabunt te; et tu, et semen tuum dominaberis eis; » et alia hujusmodi? Vides, Judæe, quod ubique Deum, propter pravam interpretationem et intelligentiam Scripturæ, mendacem facis? Nonne cum Deus apparuit Jacob et cum eo luctabatur, dixit: « Jam deinceps non amplius vocabitur nomen tuum Jacob, sed C Israel [t]? » et tamen millies et Deus, et Scriptura, et ipsemet se ipsum nominavit Jacob. Quid igitur? annon deciderunt, atque ita infirmi et instabiles facti sunt sermones Dei?

B. At ego, inquit, sum filius Israel; et mihi promissiones factæ sunt.

A. Minime; imo ego sum filius Israel. Qua enim re de Israel tu gloriaris? quod fuit capillo crispo, vel maximo corpore præ aliis, vel robustissimus, vel dissimili forma?

B. Minime; sed quia erat pius in Deum.

A. Omnis igitur cultor Dei, et Deo charus, est Israel et filius Abrahæ. Quid igitur miraris, si, qui Deum Israel colo et diligo, dico me esse filium D Israel, si moribus et fide similitudinem ejus exprimo? Sicut benedictiones Esau quidem primogeniti erant, sed cum venisset Jacob et dixisset patri suo, « Ego sum Esau [u], » cum non esset, benedictiones tulit, et non **389** mutavit eas Isaac, neque postquam agnovit fallaciam: sic ego benedictiones tuas accipio, cum me dico esse filium Israel.

XI.

Θεοδώρου τοῦ Ἀβουκαρᾶ, πρὸς Νεστοριανόν. — *Theodori Abucaræ Dialogus contra Nestorianum.*

(Francisco Turriano interprete.)

Α ὁ Ὀρθόδοξος, Β Νεστοριανός. — *A. Catholicus. B. Nestorianus.*

A. Τίς εἶπεν· « Ἐδόθη μοι πᾶσα ἐξουσία ἐν οὐ-

A. Quis dixit: « Data est mihi omnis potestas

[o] Gen. xxvii, 29. [p] Gen. xxxiii, 3. [q] Num. xxi, 22; Deut. ii, 27-29. [r] ibid. 23, 30. [s] Deut. ii, 5. [t] Gen. xxxii, 28. [u] Gen. xxvii, 19.

VARIÆ LECTIONES.

[41] Cod. Bavar. mutilus.

καὶ τῷ Ἀγαρηνῷ ὑποδεικνύων ἔλεγε, ὅτι ὁ Θεὸς Υἱὸν ἔχει.

Εἶτα πάλιν ἠρώτησε τὸν Νεστοριανὸν ὁ Ὀρθόδοξος· Ὁ Χριστὸς, ἤτοι ὁ ἄνθρωπος, ἐν τῇ κοιλίᾳ τῆς Μητρὸς αὐτοῦ ἐγνώρισε τὸν Θεὸν Λόγον;

Β. Οὐχί. Τότε οἱ συνόντες αὐτῷ Νεστοριανοὶ, βλάσφημον ἡγησάμενοι τὸ ῥῆμα, ἐπετίμησαν τῷ τῆς αἱρέσεως αὐτῶν ὑπερασπίζοντι ἐξάρχῳ ἐπιστίχῳ τάξιν ἐπέχοντι, καὶ ἀπέστησαν ἀπ' αὐτοῦ.

A sicut contra Agarenos demonstravit quod Deus haberet Filium.

Rursus interrogavit Nestorianum Catholicus: Christus, id est, homo in ventre Matris suæ cognovit Deum Verbum?

B. Nequaquam. Tunc Nestoriani, qui aderant, arbitrati blasphemiam esse, quod responsum erat, reprehenderunt illum, qui hæresim Nestorii defendebat; et discesserunt ab eo.

XIV.

Ἄλλος διάλογος πρὸς Νεστοριανόν.

Dialogus cum Nestoriano.

(Francisco Turriano interprete.)

Β. Διὰ τί *Θεοτόκον* τὴν Μαρίαν ὀνομάζετε, καὶ οὐχὶ μᾶλλον *Χριστοτόκον*; ἀπόδειξον ἐκ τῆς Γραφῆς τὴν *Θεοτόκου* φωνήν.

Α. Ἀπόδειξόν δέ μοι σὺ τὴν, *Χριστοτόκος*.

Β. Ναί· τοῦ γὰρ Ἰησοῦ Χριστοῦ ἡ γέννησις οὕτως ἦν· « Μνηστευθείσης γὰρ τῆς Μητρὸς αὐτοῦ, » καὶ τὰ ἑξῆς. Οὐκοῦν ἡ τὸν Ἰησοῦν Χριστὸν γεννήσασα, δῆλον, ὅτι *Χριστοτόκος* ὀνομασθήσεται.

Α. Ἐγὼ τὴν φωνὴν αὐτὴν ῥητῶς λεγομένην ἀπῄτησα, ὅπερ καὶ σὺ τὴν, *Θεοτόκος*, παρ' ἐμοῦ ἐζήτησας. Εἰ δὲ τούτῳ τῷ τρόπῳ τὴν ἀπόδειξιν ποιῇ, κἀγὼ διὰ μυρίων ἐκ τῆς Γραφῆς χρήσεων ἀποδεικνύων Θεὸν τὸν Χριστὸν, συναποδείκνυμι, ὅτι καὶ ἡ αὐτὸν τεκοῦσα, *Θεοτόκος* ὀφείλει ὀνομάζεσθαι· πῶς γὰρ οὐ Θεοτόκος ἡ Θεὸν υἱὸν ἔχουσα; ἢ εἰπὲ, εἴπερ τολμᾷς, τῇ τοῦ βασιλέως μητρὶ, ὅτι Οὐκ ἐγέννησας βασιλέα, καὶ ὅτι Οὐκ εἶ μήτηρ τοῦ βασιλέως. Διὰ τί δὲ καλουμένου αὐτοῦ Ἰησοῦ Χριστοῦ, οὐ καλεῖς τὴν Μητέρα αὐτοῦ *Ἰησουτόκον*, ἀλλὰ ὑπερβὰς τοῦ Ἰησοῦ ὄνομα, ὀνομάζεις αὐτὴν *Χριστοτόκον*; ὅπερ δὲ σὺ ἐποίησας ἐπὶ τοῦ *Ἰησοῦ* ὀνόματος παραδραμὼν αὐτὸ, καὶ τὸ *Χριστὸς* ἐκλεξάμενος, τοῦτο κἀγὼ πεποίηκα παραδραμὼν τὸ *Χριστὸς* ὄνομα, καὶ τὸ *Θεὸς* ἐκλεξάμενος τὸ πρῶτον, καὶ κύριον, καὶ ἐξαίρετον. Ἐκ γὰρ τοῦ κρείττονος μέρους, οὐκ ἐκ τοῦ χείρονος, αἱ προσηγορίαι τίθενται, καὶ μάλιστα παρὰ τῶν ἐπαινούντων, καὶ τιμᾷν βουλομένων.

Β. Ἀλλ' ἐὰν εἴπω *Θεοτόκος*, ἐμφαίνω τὸν Πατέρα, καὶ τὸν Υἱὸν, καὶ τὸ ἅγιον Πνεῦμα ἐξ αὐτῆς γεγεννῆσθαι. Ὁ γὰρ *Θεὸς* ἀπολύτως λεγόμενος, μὴ ἐπιφέρων τὸ ὑποστατικὸν ἰδίωμα τῆς πατρότητος, ἢ τοῦ Πνεύματος, τὴν ἁγίαν ὅλην Τριάδα ἐσήμανεν.

Α. Οὐκ εἴρηκας ἀληθὲς, ἀλλὰ προφασίζεις προφάσεις ἐν ἁμαρτίαις· ἐπεὶ ἀνάγνωθι τὴν ἀρχὴν τῆς πρὸς Ῥωμαίους Ἐπιστολῆς Παύλου.

Β. « Παῦλος δοῦλος Ἰησοῦ Χριστοῦ κλητὸς ἀπόστολος ἀφωρισμένος εἰς Εὐαγγέλιον Θεοῦ. »

Α. Τί ἐστιν, οὗτος ὁ Θεὸς, ἤγουν ποία ὑπόστασις;

Β. Ἡ Τριὰς ὅλη.

Α. Ὀρθῶς ἐψεύσω κατὰ τῆς ἑαυτοῦ κεφαλῆς. Ἀνάγνωθι τὰ ἐχόμενα.

B. Quare Mariam *Theotocon* nominatis, et non potius *Christotocon*? demonstra ex Scripturis vocem *Theotocos*.

A. Demonstra tu mihi vocem *Christotocos*.

B B. Nonne Jesu Christi generatio sic erat? « Cum enim desponsata esset Mater ejus [z], » et quæ sequuntur. Igitur quæ genuit Jesum Christum, sane *Christotocos* nominabitur.

A. Ego hanc vocem, expresse dictam petivi, sicut tu vocem *Theotocos*. Quod si ad hunc modum demonstras, ego etiam cum infinitis auctoritatibus Scripturæ Christum Deum esse probo, simul probo, quæ ipsum peperit, debere *Theotocon* nominari, et quomodo non *Theotocos* dicenda est, quæ Deum filium habet? aut dic, si audes, matri regis: Non genuisti regem, neque mater regis es. Quare cum vocetur Jesus Christus, non vocas Matrem ejus *Jesutocon*, sed potius prætermisso primo nomine C *Jesu* vocas **391** eam *Christotocon*? Quod igitur tu fecisti in nomine *Jesus*, cum præterito nomine *Jesu*, nomen *Christi* elegisti, hoc ego etiam feci, prætermisso nomine *Christus*, nomen *Deus* elegi primum, et proprium, et excellens. A meliore enim parte, non a minore appellationes fiunt, ac nomina imponuntur ab iis præsertim qui laudant, et honorare volunt.

B. At si dico *Theotocon*, significo, Patrem, et Filium, et Spiritum sanctum ex ipsa genitos esse. Qui enim absolute dicit *Deus*, et non indicat hypostaticam proprietatem paternitatis, aut filiationis, aut Spiritus sancti, totam Trinitatem significavit.

D A. Nequaquam, quod dicis, verum est; quin potius excusas excusationes in peccatis. Lege enim principium Epistolæ ad Romanos.

B. « Paulus servus Jesu Christi segregatus in Evangelium Dei [y]. »

A. Quid est iste Deus? et qualis persona?

B. Tota Trinitas.

A. Recte mentitus es in caput tuum. Lege quæ sequuntur.

[z] Matth. I, 18. [y] Rom. I, 1.

ἐν σοὶ, ἀλλ' οὐχ ὁμοίως ἐν σοὶ, καὶ ἐν ἐκείνοις. Ἐν σοὶ μὲν γὰρ οὐσιωδῶς ἡνωμένος ἐστὶν, ἐν ἐκείνοις δὲ οὐχ οὕτως. Οὕτω μοι ὡς ἐξ ὑποδείγματος νόει τὸν Θεὸν Λόγον ἐν τῇ ἰδίᾳ σαρκὶ, καὶ ὁπηνίκα ἐν τῇ παρθενικῇ μήτρᾳ ἦν, καὶ μετὰ τὸν τόκον οὐσιωδῶς καθ' ὑπόστασιν ἡνωμένον, καὶ σεσαρκωμένον, καὶ πανταχοῦ τῇ προνοίᾳ καὶ ἐνεργείᾳ τὸ πᾶν διέποντα καὶ διακρατοῦντα· ἀλλ' οὐ τῷ αὐτῷ ἐν τῇ ἰδίᾳ σαρκὶ, καὶ ἐν τῷ παντί· καὶ γὰρ φέρει τὰ πάντα τῷ ῥήματι τῆς δυνάμεως αὐτοῦ [46]. Ὁ Θεὸς δὲ, καὶ ὑπὲρ πᾶν ὑπόδειγμά ἐστι, καὶ ἐμφάσεις τινὰς νοήσεων ἐκ τῶν ὄντων λαμβάνομεν ἐπὶ τοῦ ὑπὲρ τὰ ὄντα καὶ ποιητοῦ τῶν ὄντων.

A in te esse? Minime; in te enim unita mens est secundum substantiam; in rebus vero ipsis non ita. Sic, exempli causa, intellige mihi Deum Verbum et in propria carne, et quando erat in ventre virginali, et post partum secundum substantiam et hypostasim unitum, et incarnatum; et ubique esse providentia et operatione universum gubernantem et continentem (47), non tanquam aliter substantia, aliter operatione. Non enim in νοεροῖς substantia ab operatione separata est, sed in eodem ipso in propria carne secundum hypostasim (48), et in universo; Deus autem supra omne exemplum est; quamvis enim quasdam manus, et adjumenta intelligentiæ e rebus accipimus in auctore omnium, qui supra omnia est, non tamen κατὰ ταὐτό, id est secundum idem ipsum existimandum est esse hoc quod omnia quæ sunt supra substantiam superat.

XVII.

ΙΖ'. — Ἐρωτήθη [47] Ἀβουκαρᾶς παρ' ἀπίστου [48].

393 *Quæstio ab infideli Abucaræ proposita.*

(Interprete Turriano.)

B. Πῶς τοῦ Χριστοῦ τρανῶς ἀποφηναμένου, ὅτι « Ὁ μὴ γεννηθεὶς ἐξ ὕδατος καὶ Πνεύματος, οὐ μὴ εἰσέλθῃ εἰς τὴν βασιλείαν τῶν οὐρανῶν, » δυνατόν ἐστι τοὺς πρὸ τῆς παρουσίας αὐτοῦ δικαίους μὴ βαπτισθέντας εἰσελθεῖν εἰς αὐτήν;

A. Καὶ ἀπεκρίθη· Ὁ Χριστὸς ὑπὲρ ἐκείνων ἐβαπτίσθη, ὥσπερ καὶ ἀπέθανεν ὑπὲρ πάντων· « Ἐγὼ γὰρ, φησὶν, ἐμαυτὸν ἁγιάζω ὑπὲρ αὐτῶν. » Πλὴν ἀλλὰ καὶ σωματικῶς ἐβαπτίσθησαν.

B. Πῶς τοῦτο δυνατόν;

A. Οὐκ οἶδας, ὅτι οὐ πάντη οἱ ἀποθνήσκοντες ἀπόλλυνται, ἀλλ' ἐν τοῖς στοιχείοις ἀναλύονται, ἐξ ὧν καὶ συνετέθησαν;

B. Οὕτως ἔχει.

A. Γέγραπται δὲ, ὅτι κεντηθεὶς τῇ λόγχῃ τὴν πλευρὰν, ἔρευσεν αἷμα καὶ ὕδωρ ἐκ τῆς πλευρᾶς αὐτοῦ.

B. Ναὶ οὕτως γέγραπται.

A. Οὐκοῦν ἀναλυθέντος ἐν τοῖς στοιχείοις ἐκείνου τοῦ ὕδατος, ἡγίασεν τὰ πάντα, καὶ ἐβάπτισεν τοὺς μεμερισμένους καὶ ἀναλυθέντας εἰς τὰ στοιχεῖα.

B. Τούτῳ τῷ λόγῳ καὶ οἱ ἄπιστοι, καὶ πάντες ἁπλῶς ἐβαπτίσθησαν οἱ προαποθανόντες;

A. Οὐχί· ἀλλὰ μόνον τὰ σώματα τῶν πιστῶν, ὧν αἱ ψυχαὶ, ἐν τῷ ᾅδῃ κατελθόντος ἐκεῖσε τοῦ Χριστοῦ, ἢ τῆς ἁγίας αὐτοῦ ψυχῆς, ἐπίστευσαν εἰς αὐτόν.

Ὥσπερ γὰρ εἴ τις ἀγωγὸς, καὶ ῥύαξ ὕδατος ζῶντος δένδρα πολλὰ παραπεπηγότα, καὶ παραπεφυτευμένα ἔχων, τὰ μὲν παντελῶς νεκρὰ καὶ ξηρὰ, τὰ δὲ ἔτι ζῶντα, τί δοκεῖ σοι; πάντα τὰ δένδρα, ὧν ἅπτεται τὸ ὕδωρ, ὠφελοῦνται, καὶ ἀνιμῶνται τὴν πιότητα [49] καὶ τὴν ζωὴν, ἢ μόνα τὰ δεκτικὴν ἔχοντα

B. Quomodo, cum Christus clare dicat et pronuntiet: « Qui non est natus ex aqua et Spiritu sancto, non intrabit in regnum cœlorum [c], » fieri potest ut qui ante adventum ejus fuerunt justi, non baptizati in id ingrediantur?

A. Quia Christus pro illis baptizatus est. « Ego enim, inquit, pro illis sanctifico meipsum [d]. » Cæterum σωματικῶς, id est, corporibus etiam baptizati sunt.

B. Quomodo hoc fieri potuit?

A. Nescis, quod qui moriuntur, non penitus in nihilum intereunt, sed potius in elementa, ex quibus compositi sunt, resolvuntur?

B. Sic est.

A. Scriptum est [e], quod latere lancea aperto, sanguis et aqua ex latere ejus fluxit.

B. Sic sane scriptum est.

A. Illa igitur aqua resoluta in elementa, Christus omnia sanctificavit, baptizavitque divisos et resolutos in elementa.

B. Hac ratione infideles etiam, et denique omnes baptizati sunt, qui ante fuerant mortui.

A. Minime, sed sola corpora fidelium, quorum animæ, cum descendit ad infernum Christus, id est, sancta ejus anima, in eum crediderunt.

Sicut enim si quis aquæ ductus, aut rivus multas arbores habeat juxta consitas, alias quidem omnino exstinctas et aridas, alias vero adhuc viventes et virides, quid tibi videtur, an omnes arbores quas aqua tangit utilitatem capiunt, et qualitatem ac vitam hauriunt? an illæ solæ quæ vir-

[c] Joan. III, 5. [d] Joan. XVII, 19. [e] Joan. XIX, 34.

VARIÆ LECTIONES.

[46] In altero exemplari Bavarico, hæc periodus subtexitur. [47] ἠρωτήθη. [48] C. B. παρὰ πιστοῦ. Sic habet titulus in codice Græco. In Turriani codice pleraque pars tituli, pars contextus erat, ut apparet ex versione. [49] Turr. legit ποιότητα.

NOTÆ.

(47) Codices Bavarici hic sunt mutili. Integrius exemplar Turrianus habuit, ut Genebrard.

(48) Ἐν τῷ αὐτῷ, id est, in eadem divinitate, inquit Turrianus.

habent recipiendi et eliciendi? quæ enim ex toto siccæ sunt, nihil eis prodest aqua. Sic infidelibus nihil profuit aqua illa, quæ in elementa abiit.

A δύναμιν, ἤτοι ἑλκτικήν; τὰ γὰρ τελείως ξηρὰ, οὐδὲν παρὰ τοῦ ὕδατος ὠφελοῦνται. Οὕτως οὐδὲν ὠφελήθησαν οἱ ἄπιστοι ἐκ τῆς τοῦ ὕδατος ἐκείνου εἰς τὰ στοιχεῖα ἀναλύσεως.

XVIII.

Opusculum XVIII prætermisimus jam inter Opera S. Joannis Damasceni editum hujus Patrologiæ t. XCIV, col. 1595.

XIX.

394 *Mahometem non esse ex Deo.*

ΙΘ'. — *Ἐρώτησις, ὅτι ὁ Μωάμεθ οὐκ ἔστι ἐκ τοῦ Θεοῦ.*

(Jacobo Gretsero interprete.)

Consuetudine receptum est apud Saracenorum hypocritas, ut si in Christianum incidant, salute eum nequaquam dignentur, sed statim dicant: Christiane, testimonium, quod unus et incommunicabilis Deus Mahometem asciverit sibi servum et apostolum. Et hæc ipsa quidam ex hujusmodi hypocritarum numero Abucaræ proposuit. Cui ille respondit: Annon tibi sufficit quod falsi testimonii condemnaris, nisi et alios falsa testari incites?

Barbarus. Non dico falsum testimonium.

Christianus. Omitte igitur dicere, Mahometem a Deo missum esse.

395 *Barb.* Nequaquam. Sed quod testatur pater meus, testor et ego.

Christ. Si vera esse oportet, quæ filiis traduntur a patribus, sequitur et Samaritanos, et Judæos, et Scythas, et Christianos et Græcos rectam fidem colere, quia omnes isti eam persuasionem habent, qua a majoribus suis imbuti sunt. Et quidnam diversum ab his continet tua religio, qui patri tuo fidem habes? hoc enim et gentibus, quæ pecudum ritu vivunt, solemne est.

Barb. Cum me in dubitationem conjeceris, cedo, precor, annon et tu ea quæ a patre edoctus es, sentis ac doces?

Christ. Utique. Sed me pater meus alia docuit; et te pater tuus alia.

Barb. Et quænam te docuit pater tuus, et quænam me pater meus?

Christ. Pater meus docuit me, ut recipiam Prophetam jam olim prænuntiatum, vel qui per signa et prodigia sibi fidem conciliat. Utrisque tuus Mahometus destituitur. Nullus enim ex veterum prophetarum numero quidquam de illo tanquam de propheta vaticinatus est, neque ipse signis et prodigiis fidem sibi astruxit.

Barb. Imo vero, quia Christus in Evangelio dixit: Mitto vobis prophetam nomine Mahometum.

Christ. Atqui Evangelium nullam ejus mentionem facit.

Barb. Faciebat, sed vos expunxistis.

Christ. Si quis ad judicem ferat chirographum

Ἔθος τοῖς τῶν Σαρακηνῶν ὑποκριταῖς, εἰ συναντῶν [50] Χριστιανὸν, μὴ χαιρετίζειν, ἀλλ' εὐθέως λέγειν· Χριστιανὲ, μαρτύριον, ὅτι εἷς ὁ Θεὸς ἀκοινώνητος τὸν Μωάμεθ ἔχει δοῦλον καὶ ἀπόστολον. Καὶ B ταῦτα τὶς τῶν τοιούτων ὑποκριτῶν τοῦ Ἀβουκαρᾶ ἠρώτησεν. Ὁ δὲ ἀποκριθεὶς εἶπεν· Οὐχ ἅλις σοι τὸ τῆς ψευδομαρτυρίας κατάκριμα, ἕως οὗ καὶ ἄλλοις ψευδομαρτυρεῖν ἐπιτρέπῃ;

Βάρβαρος. Οὐ ψευδομαρτυρῶ.

Χριστιανός. Οὐκοῦν παρῶς, ὅτε [51] ὁ Θεὸς τὸν Μωάμεθ ἀπέστειλε.

Βάρβ. Οὐχί. Ἀλλ' ὡς μαρτυρεῖ ὁ πατήρ μου, μαρτυρῶ κἀγώ.

Χριστ. Εἰ πάντοτε ἀληθῆ τὰ ὑπὸ τῶν γονέων τοῖς τέκνοις λαλούμενα, καὶ Σαμαρεῖται, καὶ Ἰουδαῖοι, καὶ Σκύθαι, καὶ Χριστιανοὶ, καὶ Ἕλληνες καλῶς ἂν C πιστεύωσι, ἐπειδὴ ἕκαστοι μαρτυρεῖν ὡς οἱ γόνοι ἐδιδάχθησαν. Καὶ τί ἐστι λοιπὸν τῆς θρησκείας σου τὸ διάφορον, τῷ πατρί σου πιστεύσαντος; οὕτως γὰρ θεμιστεύεται καὶ τὰ βοσκηματώδη ἔθνη.

Βάρβ. Ἐπειδή με εἰς ἀπορίαν περιέστησας, εἰπέ μοι σύ· ἆρ' οὐχ ὅσα δεδίδαξαι ὑπὸ τοῦ πατρός σου, μαρτυρεῖς;

Χριστ. Ἀληθῶς. Ἀλλ' ἐμὲ ὁ πατήρ μου ἄλλα ἐδίδαξε, καὶ σὲ ὁ πατήρ σου ἄλλα.

Βάρβ. Τίνα οὖν ἐδίδαξέ σε ὁ πατήρ σου, καὶ τίνα με ὁ πατήρ μου;

Χριστ. Ὁ πατήρ μου ἐδίδαξέ με δέξασθαι ἀπόστολον ἐκ παλαιοτέρου προδηλωθέντα, ἢ διὰ σημείων ἑαυτὸν ἀξιόπιστον παραστήσαντα. Ὁ δὲ σὸς Μωάμεθ D ἑκατέρων γεγύμνωται, καὶ ἠλλοτρίωται. Παλαιὸς γὰρ αὐτὸν προφήτης, προφήτην οὐ προεμήνυσε, καὶ σημείοις ἑαυτὸν οὐκ ἐπιστώσατο.

Βάρβ. Ναὶ, ὁ Χριστὸς ἐν τῷ Εὐαγγελίῳ ἔγραψε λέγων· Ἀποστέλλω ὑμῖν προφήτην Μωάμεθ λεγόμενον.

Χριστ. Τὸ μνημόσυνον αὐτοῦ τὸ Εὐαγγέλιον οὐκ ἔχει.

Βάρβ. Εἶχεν, ἀλλ' ὑμεῖς ἐξηλείψατε αὐτό.

Χριστ. Ὁ φέρων πρὸς τὸν δικαστὴν, κατὰ τοῦ

VARIÆ LECTIONES.

[50] συναντῶσι. [51] Turr. videtur legisse πάρες ὅτι.

ὀφείλοντος δανείου [52], χειρόγραφον τι τῶν ζητουμένων, ἢ λαλουμένων μὴ ἔχον, τί κρίνει ὁ δικαστὴς, ἵνα λάβῃ;

Βάρβ. Οὐδέν.

Χριστ. Οὐκοῦν ἐκ τοῦ Εὐαγγελίου ἔχετε οὐδέν.

Βάρβ. Κἂν ἐκ τοῦ Εὐαγγελίου ἔχω οὐδὲν, ἀλλ' ἐκ τῶν σημείων, ὧν ἐποίησεν, ἀξιόπιστος δείκνυται προφήτης.

Χριστ. Ποῖον σημεῖον ἐποίησεν;

Ὁ Βάρβαρος, εἰς ψευδῆ μυθολογίαν τραπεὶς, καὶ μηδὲν ἀληθὲς εἰπεῖν δυνηθεὶς, ἡσύχασεν.

A adversus fenoris debitorem, quod nihil eorum, quæ poscuntur, contineat, quid statuit judex, et talis actor recipiat?

Barb. Nihil.

Christ. Igitur ex Evangelio nihil habetis.

Barb. Etiamsi ex Evangelio nihil habeam, attamen ex signis, quæ patravit, fide dignus propheta apparet.

Christ. Quale signum fecit?

Barbarus ad falsa commenta conversus, cum nihil veritati consentaneum afferre posset, conticuit.

XX.

Ἑτέρα ἐρώτησις, ὅτι ὁ Μωάμεθ ἐχθρὸς ἦν τοῦ Θεοῦ, καὶ ὑπὸ δαίμονος ἠνωχλεῖτο, δι' ὑποδείγματος.

Alia interrogatio (49), *specie exempli, quod Mohametus fuerit hostis Dei, et a dæmone obsessus.*

Interprete Gretsero.

Εἰ πάσης τῆς ὑπ' οὐρανὸν κτίσεως δεσπόζων, κατὰ B χώρας τινὸς οἰκήτορας ἔγνω λοιδοροῦντας αὐτῷ, καὶ παροινοῦντας αὐτοῦ τὸ κράτος, χολωθεὶς στρατοπεδάρχην τινὰ πρὸς αὐτοὺς ἀπέστειλεν, τὸν λοιδορεῖν παύσοντα, καὶ εὐφημεῖν διδάξοντα, ἢ μὴ προσθεμένους ξίφει τιμωρησόμενον, ὁ δὲ τὴν χώραν τῶν ὑβριστῶν καταλαβὼν, χρήμασι δωροδοκηθεὶς, τὸν βασιλέα μᾶλλον ὑβρίζειν αὐτοὺς προετρέψατο, ἀντὶ τῶν χρημάτων ἔγγραφον προτροπὴν ἰδιοχείρως αὐτοῖς χαράξας, ἆρ' ἔστι τοῦ ταῦτα διαπράξασθαι τολμήσαντος τῷ βασιλεῖ δυσμενέστερος; Οἶμαι οὐδείς.

Ἀλλ' ἴσως ἐρεῖ τις, Καὶ μέχρι τοσαύτης τίς ἐλάσειεν ἂν μανίας, ὥστε τὸν ἑαυτοῦ δεσπότην λοιδορεῖν τινας παρορμήσας, ἀντὶ τῆς λοιδορίας χρυσὸν λαβών;

Ἐρῶ δ' ἂν ἐγὼ πρὸς αὐτὸν, ὅτι ὁ μεμηνὼς τῶν C Ἀγαρηνῶν ψευδοπροφήτης Μωάμεθ, καθὼς ἐν τοῖς ἑαυτοῦ ψεύσμασιν εὑρίσκεται κομπάζων. Ἔλεγε γὰρ δαιμονιῶν, ὅτι « Ὁ Θεός με ἀπέστειλεν ἐκχύσαι τὸ αἷμα τῶν λεγόντων τὸ Θεῖον, φύσιν τρισυπόστατον, καὶ πάντων τῶν μὴ οὕτω λεγόντων, « Ὁ Θεὸς, μουνὰξ, ὁ Θεὸς σφυρόπηκτος, ὃς οὐκ ἐγέννησεν, οὐδὲ ἐγεννήθη, οὐδὲ γέγονεν αὐτῷ ἀντιμεριστής τις. » Αὕτη γάρ ἐστιν ἡ θεολογία μεμηνότος, γεννήτορα φωτὸς, ἁγιασμοῦ προβολέα ἀρνούμενος εἶναι τὸν Θεὸν, καὶ ὡς λοιδόρους, καὶ τῆς θεότητος ὑβριστὰς, ξίφει τιμωρήσασθαι, παρὰ Θεοῦ κεκελεῦσθαι τοὺς Χριστιανοὺς ἐκομπάζετο, ἀλλὰ χρήμασιν ἐξαμελισθεὶς [53], παρεχώρησεν αὐτοὺς τὸν ἀποστείλαντα αὐτὸν ὑβρίζειν, ὡς ᾤετο, ὁ δαιμονισθείς.

Καὶ ἵνα μή τις ἡμᾶς ὑπολάβῃ ψευδηγορεῖν δαιμονῶντα αὐτὸν ὀνομάζοντας, ἀναγνώτω τὴν παρ' αὐτοῖς ἱστορίαν ἐπιγεγραμμένην, *Συγγνώμη τῆς Σαΐσσα.* Γυνὴ γὰρ αὐτοῦ αὕτη, καὶ ὑποπτευομένην αὐτὴν μοιχᾶσθαι, πρὸς τοὺς γονεῖς αὐτῆς αὐτὴν ἐξεδίωξε, καὶ μεθ' ἡμέρας συγκαθήμενος αὐτοῖς,

Si universæ terræ Dominus ira accensus in provinciæ alicujus incolas sibi convicia dicentes, et potentiæ majestatique **396** suæ illudentes, mitteret ad illos quempiam belli ducem, qui a maledictis averteret, ad benedicta autem converteret, gladio in immorigeros animadversurum: ille vero in contumeliosorum hominum regionem delatus, pecuniisque delinitus magis ad maledicta in regem jacienda inflammaret, et hanc suam inflammationem proprio chirographo confirmaret, num ullus major et capitalior isto hæc talia auso regis hostis reperiri posset? Haud equidem arbitror.

Χριστ. Ἐν τοῖς προφήταις ἔθος ἐστὶ, τὰ ἄψυχα προσωποποιεῖν, καὶ σκοπῶν θεάσῃ αὐτοὺς ὀφθαλμοὺς, καὶ ὄμματα τιθέντας αὐτοῖς· ὡς τό· « Ἡ θάλασσα εἶδε, καὶ ἔφυγεν. » Ἰδοὺ ἡ θάλασσα ὀφθαλμοὺς οὐκ ἔχει, οὐ γάρ ἐστιν ἔμψυχος. Καὶ πάλιν· « Τί σοί ἐστι, θάλασσα, ὅτι ἔφυγες; » καὶ τὰ ἑξῆς. Καί· « Ἡ μάχαιρά μου φάγεται κρέα. » Τὸ δὲ φαγεῖν ἐπὶ στόματός ἐστι τρώγοντος καὶ πίνοντος· ἡ δὲ μάχαιρα τέμνει μὲν, οὐ καταπίνει δέ. Ἀλλὰ καὶ ποταμοὺς κροτοῦντας χερσὶν εἰσάγουσι, καὶ βουνοὺς ἀλλομένους, καὶ ὄρη σκιρτῶντα. Οὕτω καὶ τὰ ῥήματα τροπολογήσας, ἐκάλεσε λόγια, ἅπερ οὐκ εἰσὶ λόγια, ἀλλὰ ῥήματα.

A mini, eloquia casta [a]? » Nonne verba Domini sunt eloquia casta?

Christ. Propheta tropologice locutus est, non proprie.

Barb. Et quid est tropologica, et quid propria locutio?

Christ. Propria locutio est firma rei demonstratio. Tropologia autem infirma demonstratio.

Barb. Haud asserere licet prophetam attulisse infirmam demonstrationem.

Christ. Mos apud prophetas receptus est etiam inanimatis rebus personam tribuere; hinc videas illis oculos aspectumque assignari : « Mare vidit, et fugit [b]. » Mare profecto oculos non habet. Est enim inanime. Rursus : « Quid est tibi, mare, B quod fugisti [c]? » Et quæ sequuntur. Et : « Gladius meus comedet carnes [d]. » At comedere oris est manducantis et bibentis. Porro gladius scindit quidem, sed non bibit. Quin et fluvios manibus plaudentes inducunt, et colles saltantes, et montes exsilientes. Sic et ῥήματα per tropologiam nominavit λόγια, quæ non sunt λόγια, sed ῥήματα (68).

XXXVII.

Ἑτέρα ἐρώτησις.

Alia quæstio.

Jacobo Gretsero interprete.

Βάρβ. Ἣν λέγετε Θεοτόκον, ἀπέθανεν, ἢ ζῇ;

Χριστ. Οὐκ ἀπέθανε, καὶ τοῦτο λέγω θαῤῥῶν τῇ Γραφικῇ ἀποδείξει. Ὡς γὰρ φέρε εἰπεῖν, ὁ πρῶτος ἄνθρωπος ὕπνωσε, καὶ τὴν πλευρὰν ἀφῃρέθη, οὕτω καὶ αὕτη τὴν ψυχὴν τὴν παναγίαν τῷ Θεῷ, ὡς ἐν ὕπνῳ παρέθετο.

Βάρβ. Ἰδοὺ πέπληγμαι ἔν τινι τόπῳ τῆς σαρκός μου, καὶ ἡ σὰρξ πληγεῖσα μώλωπα ἀπετέλεσε, καὶ ἐν τῷ μώλωπι ἐγένετο σκώληξ. Τίς αὐτὸν ἔπλασεν;

Χριστ. Εἴπομεν, ὅτι μετὰ τὴν πρώτην ἑβδομάδα τῆς κοσμοποιίας, οὐδαμῶς εὑρίσκομεν τὸν Θεὸν πλάσαντά τι· ἀλλὰ πάντα τὰ ὄντα ἑξαημέρῳ ποιήσας, ἐξ αὐτῶν τῶν ὄντων, ἕτερα γενέσθαι ηὐδόκησεν μόνῳ θελήματι αὐτοῦ· μετὰ γὰρ τὴν παράβασιν κατεκρίθη ἡ γῆ ἀκάνθας καὶ τριβόλους ἀνατέλλειν. Τότε οὖν καὶ ἡ σὰρξ ἡμῶν κατακριθεῖναι [85], φθεῖρας καὶ σκώληκας ἀνατέλλει.

Barb. Quam appellatis Deiparam, num mortua est, an vivit?

Christ. Non est mortua. Et hoc assero demonstratione sacrarum Litterarum fretus. Quemadmodum enim, exempli causa, primus homo dormiens C costa spoliatus est, sic et Deipara quasi in somno sanctissimam animam Deo tradidit.

Barb. In carne mea vulneratus sum. Et caro saucia vibicem accepit. Et in vibice vermis exstitit. Quis eum formavit?

Christ. Respondemus nusquam proditum esse Deum (69), post primam illam, qua mundus conditus est, hebdomadem, **422** aliquid formare; quia cum omnia sex illis diebus condidisset, voluit ut de cætero alia ex aliis nascerentur sola voluntate sua. Post transgressionem enim damnata est terra, ut spinas et tribulos proferat. Tunc etiam caro nostra damnationis sententiam subiens pediculos et vermes progignit.

XXXVIII.

D

Ἑτέρα ἐρώτησις.

Alia quæstio.

Jacobo Gretsero interprete.

Σαρακ. Τίς ἐστι παρὰ σοὶ μείζων, ὁ ἁγιάζων, ἢ ὁ

Sarac. Quis apud te major est? sanctificans, an

[a] Psal. XI, 7. [b] Psal. CXIII, 3. [c] ibid. 5. [d] Deut. XXXII, 42.

VARIÆ LECTIONES.

[85] κατακριθεῖσα.

NOTÆ.

(68) Hæc apte non possunt exprimi Latine. Quamvis nil opus est distinctione quam affert inter λόγια et ῥήματα. Res aliter expediri potest, ut vel pueris notum.

(69) Vide quæ notata dissert. 35.

sanctificatus? Hanc quæstionem proposuit de Baptista et Christo.

Christ. Quando cum servo tuo in balneum te confers, ut ab illo abluaris, quem arbitraris potiorem? Illumne miserum servulum, et ære comparatum mancipium, an teipsum, qui ab illo mundaris?

Saracenus ad hæc nullum responsum dedit.

A ἁγιαζόμενος; Τοῦτο δὲ ἠρώτησε περὶ τοῦ Βαπτιστοῦ καὶ τοῦ Χριστοῦ.

Χριστ. Ἀπερχομένου σου ἐν τῷ βαλανείῳ μετὰ τοῦ δούλου σου, λούσασθαι βουλόμενος ὑπ' αὐτοῦ, τίνα λέγεις μείζονα; ἐκεῖνον τὸν οἰκτρὸν δοῦλον, καὶ ἀργυρώνητον, ἢ σαυτὸν τὸν καθαρθέντα ὑπ' αὐτοῦ;

Ὁ δὲ Σαρακηνὸς πρὸς ταῦτα οὐκ ἀπεκρίθη.

XXXIX

Abucaræ ad cujusdam quæstionem.

Τοῦ Ἀβουκαρᾶ, πρός τινα ἐρωτήσαντα αὐτόν.

Jacobo Gretsero interprete.

Cum lex vetus diserte explicarit, a quibus, tanquam immundis, abstinendum sit; et quibus, tanquam mundis, vescendum; quomodo in Novo Testamento cognoscitur, quæ, tanquam munda, manducare liceat, et quæ, ut immunda, fugere oporteat; cum nulla exstet lex quæ horum differentiam tradat? Quod si cum legis antiquæ norma homines in horum observatione se conformant, debebant sane omnia comedere, et ab omnibus abstinere, quæ lex præscribat; exempli causa, ovibus vesci debebant; abstinere autem a camelo et pardali. At si legi non sunt subjecti, quo pacto abstinent ab illis, quæ lex vetat, ut ab equo, camelo, mure, et id genus aliis immundis? Nunc vero cum neque legi perfecte obtemperent, neque perfecte non obtemperent; nonne planum relinquitur, eos utriusque præscripta ex parte exsequi, legis, inquam, et gratiæ, dumque partim non obediunt, partim obediunt, sub lege et gratia; et rursus nec sub hac, neque sub illa constitutos esse?

Εἰ ἀποχὴν ἀκαθάρτων, καὶ μετάληψιν καθαρῶν τοῖς ἐν τῇ παλαιᾷ ἡ διάταξις ἠνόμενον [86] διηγόρευσε, πῶς ἐν τῇ Νέᾳ μετάληψιν καθαρῶν, καὶ ἀποχὴν ἀκαθάρτων γινώσκουσιν, οὐδενὸς αὐτοῖς νόμου B ταῦτα αὐτοῖς ἐκδιδάξαντος τὴν διαφοράν; Ἀλλ' εἰ μὲν τοῦτο ποιοῦσι κατὰ τὴν τοῦ νόμου παράδοσιν, ἐχρῆν αὐτοὺς πάντων μεταλαμβάνειν, καὶ ἀπέχεσθαι, ὧν ὁ νόμος ἐκήρυξε· προβάτων μὲν ἐσθίοντες κατὰ νόμον, οὐκ ἐσθίοντες δὲ καμήλου, καὶ παρδάλεως. Εἰ δὲ μὴ τῷ νόμῳ δεδούλωνται, πῶς πάλιν τῶν ὑπ' αὐτοῦ ἀπαγορευθέντων ἀπέχονται, οἷον ἵππου, καμήλου, ἢ μυός, ἤ τινος τῶν ἀκαθάρτων; Νυνὶ δέ, μὴ καθόλου τῷ νόμῳ πειθόμενοι, μήτε εἰς τὸ παντελὲς ἀπειθοῦντες, πῶς οὐ δώσουσιν ἀπὸ μέρους τὴν ἑκάστου ποιεῖσθαι φύσιν, καὶ παράκλησιν, λέγω δὴ τοῦ νόμου, καὶ τῆς χάριτος, καὶ τῇ ἀμφοτέρᾳ ἀπειθείᾳ, καὶ πεισμονῇ, ὑπὸ νόμον, καὶ χάριν, καὶ πάλιν μὴ ὑπ' αὐτοῦ [87] καθεστηκέναι;

Responsio.

In Novo Testamento nihil eorum, quæ in os intrant, coinquinat hominem. A comedendis autem quibusdam abstinent aliqui, non legis præcepta secuti; sed propriæ conscientiæ, eo quod hæc vel illa manducare non libeat, obsecuti. **423** Nonnulli etiam studio et amore continentiæ, proprio arbitratu, omnino et a mundis et ab immundis sibi temperant; quanquam non ignari, omnem creaturam Dei esse bonam; et nihil eorum rejiciendum, quod cum gratiarum actione sumitur [a]. Nihilominus illam gratiarum actionem, quæ in studio continentiæ sita est, præstantiorem censemus illa quæ in sumptione esculentorum consistit. Propter hæc igitur nihil quasi per partes commune est legi et gratiæ; sed omnia solius sunt gratiæ, sive quis abstineat; sive hæc vel illa ciborum genera sumat, ut dictum est.

C

Ἀπόκρισις.

Ἐν τῇ Νέᾳ Διαθήκῃ οὐδὲν τῶν εἰσερχομένων εἰς τὸ στόμα κοινοῖ τὸν ἄνθρωπον. Ἀπέχονται δὲ ὧν οὐ μεταλαμβάνουσιν, οὐ κατὰ διαγόρευσιν τοῦ νόμου, ἀλλὰ κατὰ τὸ δυσάρεστον τῆς τῶν οὐ μεταλαμβανόντων ἑκουσίου συνειδήσεως. Τινὲς δὲ διὰ τὴν κατόρθωσιν ἐγκρατείας, κατὰ τὴν οἰκείαν ἀρέσκειαν κοινῶς ἀπέχονται καθαρῶν τε καὶ μὴ καθαρῶν· καίτοι εἰδότες, ὅτι πᾶν κτίσμα Θεοῦ καλόν· καὶ οὐδὲν ἀπόβλητον μετὰ εὐχαριστίας λαμβανόμενον. Ἀλλ' ὅμως τὴν ἐπὶ τῇ κατορθώσει τῆς ἐγκρατείας εὐχαριστίαν, μείζονα τῆς ἐπὶ τῇ μεταλήψει βρωμάτων εὐχαριστίας θέμεθα. Διὰ ταῦτα οὖν οὐδέν ἐστι κοινὸν νόμου καὶ χάριτος, ἀλλὰ μέρος [88], ἀλλὰ χάριτος μόνης τὸ πᾶν ὑπάρχει, τῆς τε μετοχῆς καὶ τῆς ἀποχῆς τῶν μετα- D λαμβανομένων, κατὰ τὸν εἰρημένον τρόπον.

Aliter. Arethæ.

Fides non consistit in esca; sed in destinata et

Ἄλλως. Ἀρέθα (70).

Οὐκ ἐν τοῖς βρώμασιν ἡ πίστις· ἀλλ' ἐν τῇ κεκρι-

[a] I Tim. IV, 4.

VARIÆ LECTIONES.

[86] Ita habet C. B. sed quid hoc vocabuli? [87] fort. ὑπ' αὐτά, ut referatur ad νόμον et χάριν. [88] L. ἀνὰ μέρος.

NOTÆ.

(70) *Admonitio.* Aliquoties in altero Bavarico codice dissertatiunculis Abucaræ subjicitur hoc vel simile seu scholium, seu quo alio nomine appellare libet ἄλλως ἀρεθ. Quas additiunculas reperit quo-

μένη τῆς πίστεως διαμονῇ. Ἡ δὲ περὶ βρωμάτων A χρῆσις ἐφεῖται τῇ συνηθείᾳ τῶν ἐσθιόντων, καὶ πρὶν ἢ γενέσθαι Χριστιανούς. Ἰουδαίοις δὲ διαστολὴ τῶν βρωμάτων οὐχ ὡς ἔτυχε, δέδοται, ἀλλ' εἰς αἴνιγμα τοῦ πῶς ῥυθμίζειν αὐτοὺς χρὴ τὴν κατὰ τὸν βίον διέξοδον αὐτῶν ἀπὸ τῆς διαίτης ὠφελουμένην· οἷον (ἵνα διὰ βραχέως ὑπομνήσωμεν) λαγωῶν καὶ συῶν ἀπεῖρξε τὴν ἐδωδὴν [89] Ἰουδαίους ὁ νόμος· ἵνα διὰ τούτου παραστήσῃ δειλίας αὐτοῖς, ἐν οἷς ἀνδρίζεσθαι εὐσεβές, μηδὲν ἴχνος προσεῖναι· μηδὲ συρφετοῦ βίου καὶ βδελυροῦ ἀντιποιεῖσθαι. Ὡσαύτως καὶ ἐπὶ τῶν ἄλλων ζώων, ὧν ἀπεῖπεν τὴν μετάληψιν, ἐπισκοποῦντας τὴν ἐνυποῦσαν αὐτοῖς φυσικὴν ἰδιοτροπίαν, πρὸς ταύτην, καὶ ψυχικὴν ῥυθμίζειν ὁρμήν.

deliberata fidei perseverantia. Usus vero ciborum permittitur consuetudini manducantium, etiam priusquam Christiani fiant. At Judæis præscripta est ciborum differentia, non fortuito, sed ut insinuaretur quomodo vitam suam instituere ac componere deberent; ita ut ex ipsa victus ratione utilitatem perciperent; verbi gratia (libet enim unum aut alterum exemplum afferre), a leporum et porcorum esu arcet Judæos lex; ut ostendat nihil formidinis et pavoris eis inesse in his præstandis, in quibus fortiter agere pietas et æquitas jubet; neque eos vitam impuram, et sordium immunditia detestandam sectari. Similiter et in aliis animalibus, quorum esum lex prohibuit, considerare B oportet naturales, quibus prædita sunt, proprietates, easque ad animæ appetitiones accommodare.

XL.

Ἐκ τοῦ αὐτοῦ Θεοδώρου ἐπισκόπου Καρῶν περὶ τοῦ Ἀδάμ. Φωτίου.

Ex eodem Theodoro Abucara, episcopo Carum, de Adamo. Photii (71).

Jacobo Gretsero interprete.

Χρὴ εἰδέναι, ὅτι δέον ἐννοεῖν, καὶ λέγειν, ὡς τὸ τοῦ Ἀδὰμ σῶμα φύσει θνητὸν ἦν καὶ παθητόν· θείᾳ δὲ χάριτι, ἀθάνατον διεφυλάττετο καὶ ἀπαθὲς, μέχρις ἂν αὐτὸ ἡ παράβασις τῆς φυσικῆς ἀπεγύμνωσεν· οὕτω γὰρ καὶ ὁ τῶν ἁγίων χορὸς ἀποφαίνεται.

Scire oportet, et sentiendum et dicendum esse corpus Adami natura sua mortale et passibile fuisse, divina vero gratia immortale et impassibile perstitisse, donec transgressio illud naturali dono spoliavit; et hoc omnes sancti Patres tradunt.

XLI.

Τί ἐστι θάνατος; καὶ πῶς θανατοῦται ὁ θάνατος; Δοξάζει γὰρ καὶ τοῦτο ἡ Ἐκκλησία· « Καὶ ἰδοὺ ἀποθνήσκομεν. »

424 *Quid sit mors, et quomodo mors morti dedatur.*

Jacobo Gretsero interprete.

Θάνατος οὔτε οὐσία ἐστὶν, οὔτε καθ' ἑαυτὸν ὑφέστηκεν· ἀλλὰ πάθος περὶ οὐσίαν γινόμενον· καὶ μέχρι τοῦ γίνεσθαι, τὸ εἶναι λεγόμενον [90]. Ἐπειδὴ κατὰ πλειόνων, καὶ διαφόρως κατηγορεῖται ὁ θάνατος, δέον εἰδέναι, ὅτι θάνατος μὲν ἀγγέλῳ, ἡ τῆς ἐπουρανίου καὶ φωτοειδοῦς δόξης ἔκπτωσις, ὃν καὶ πρῶτος ὑπέστη, ἄγγελος ὢν, ὁ Σατανᾶς. Θάνατος δὲ διαβόλῳ καὶ δαίμονι, ἡ τοῦ αἰωνίου πυρὸς ἀποκλήρωσις ἐπ' ἐσχάτων. Θάνατος ἀνθρώπῳ, ἡ διάζευξις τῆς ψυχῆς ἀπὸ τοῦ σώματος. Θάνατος ψυχῆς, ἡ ἀπὸ Θεοῦ ἀλλοτρίωσις. Θάνατος δὲ θανάτῳ, ἡ ἀπαρχὴ τῆς ἡμῶν ἀναστάσεως, ὅς ἐστιν ὁ Χριστός· μέχρι γὰρ αὐτοῦ ὁ θάνατος τῇ διαφθορᾷ τῶν ἀνθρώπων ὑπούργει, καὶ ζωὴ αὐτῷ ἡ ἀνελπιστία τῆς ἀναστάσεως ἐνομίζετο. Ἀφ' οὗ δὲ Χριστὸς ἀπέθανε καὶ ἀνέστη, εἰς τοὐναντίον αὐτῷ τὰ τῆς ὑπουργῶς [91] περιεστράφη. Οὐκέτι γὰρ διαφθορᾷ ἀνελπίστῳ, ἀλλ' ἐλπιζομένῃ ἀναστάσει ὑπουργεῖ· καὶ τοῦτό ἐστιν αὐτῷ θάνατος. Τὸ γὰρ θανατοῦν θανατοῦται τῇ ἐλπίδι τῆς ἡμῶν ἀναστά-

C Mors neque substantia est, neque per se subsistit, sed est passio quædam substantiæ adveniens; quæ esse dicitur, quousque mors advenit. Cum vero mors de pluribus prædicetur, animadvertendum est mortem angelo nihil esse aliud, quam casum ex cœlesti et luciflua illa beatitudinis gloria, quo primo ille angelus corruit, factus Satanas. Mors autem diabolo est sors et hæreditas æterni ignis in novissimis. Mors homini est sejunctio animæ a corpore. Mors animæ est abalienatio a Deo. Mors morti, primitiæ resurrectionis nostræ, qui est Christus. Nam usque ad Christum mors corruptioni hominum inserviebat, et vita ipsi videbatur, quod nulla resurrectionis spes suppeteret. D At ex quo Christus mortuus est, ac resurrexit, in contrarium recidit hoc ministerium, neque enim amplius spe destitutæ corruptioni, sed speratæ resurrectioni servit; et hoc ipsi mors est. Nam quod antea occidebat, id nunc spe resurrectionis

VARIÆ LECTIONES.

[89] τῆς ἐδωδῆς. [90] λεγομένην. [91] ὑπουργίας.

NOTÆ.

que in suo exemplari Turrianus; qui aliquot hujus generis scholia Arethæ episcopi Græce ascripsit ad oram seu marginem versionis suæ; maxime in opusculo tertio. Quæ nos omisimus, evulgaturi illa alias cum variis veterum fragmentis, quæ ex codicibus Bavaricis excerpsimus.

(71) Photii, quomodo Abucaræ? sed num utriusque, quia Abucara ex Photio?

nostræ occiditur Quoties enim intuetur Christianum per spem resurrectionis nostræ mori, mortemque pro somno ducere, corruit; et a validiore percutitur. Est autem resurrectio validior morte. Neci igitur data est mors per Christi resurrectionem. Et hujus gratia spe resurrectionis freti moriuntur Christiani. Semper igitur hac spe mors corruptionis minister particulatim perimitur; atquando omnes resurgent, primitias Christum secuti, ipsa etiam mors perfecte evacuabitur, teste Apostolo [f], non habens amplius, cui operam suam locet.

A σεως. Ὁσάκις γὰρ ἴδῃ Χριστιανὸν ἐλπίδι τῆς ἡμῶν ἀναστάσεως ἀποθνήσκοντα, καὶ κοίμησιν τὸ πρᾶγμα ὀνομαζόμενον πίπτει, καὶ βάλλεται τῷ ἰσχυροτέρῳ. Ἰσχυρότερον δὲ τοῦ θανάτου ἡ ἀνάστασις. Τεθανάτωται ἄρα τῇ τοῦ Χριστοῦ ἀναστάσει ὁ θάνατος. Καὶ τοῦ [92] ἐπ' ἐλπίδι ἀναστάσεως ἀποθνήσκουσι Χριστιανοῖς [93]. Ἄρα ἀεὶ τῇ τοιαύτῃ ὑπουρῶς [94] θανατοῦται ὁ θάνατος μερικῶς· ὅταν δὲ τὸ πᾶν ἀναστῇ ἑπόμενον τῇ ἀπαρχῇ, καὶ αὐτὸς, κατὰ τὸν Ἀπόστολον, μὴ ἔχων, ᾧ ὑπουργήσει, καταργεῖται ὁλοτελῶς.

XLII.

Brevis doctrina de divinis nominibus, tam communibus sanctissimæ Trinitatis, quam propriis cujusque personæ.

Σύντομος διδασκαλία περὶ θείων ὀνομάτων, τῶν τε κοινῶν Τριάδος, καὶ τῶν ἰδικῶν ἑκάστου τῆς Τριάδος.

Jacobo Gretsero interprete.

Sunt quædam nomina sacrosanctæ Trinitati communia, et de divina essentia seu natura dici consueta; ut Deus, Dominus, bonus, justus, sapiens, potens, Rex, Dominus, Creator, providens, Salvator, sanctus, et alia hujus generis, quæ communiter de natura divina enuntiantur; neque unius personæ propria sunt.

B Ἔστιν ὀνόματα κοινὰ διὰ τῆς ἁγίας Τριάδος διήκοντα, ὡς ἐπὶ τῆς θεϊκῆς οὐσίας λεγόμενα· οἷον τὸ Θεὸς, τὸ Κύριος, ἀγαθὸς, δίκαιος, σοφὸς, δυνατὸς, Βασιλεὺς, Δεσπότης, Δημιουργὸς, προνοητὴς, Σωτὴρ, ἅγιος, καὶ ὅσα τοιαῦτα κοινῶς ἐπὶ τῆς θείας φύσεως τιθέμενα, καὶ οὐκ ἔστι μιᾶς ἰδιαζόντως ὑποστάσεως.

425 Sunt vero etiam nomina propria seu hypostatica; ut Pater, Filius, Spiritus sanctus. Ex communibus nominibus, quæ de natura prædicantur, hoc quidem, *Deus*, Patri attribuitur, eique quodammodo peculiare evasit; quia est principium Filii et Spiritus sancti, et ad illum referuntur. At *Dominus*, Filio similiter attribuitur, *sanctus Spiritus*, Spiritui. Hinc apostoli, et universa propemodum Scriptura, quando pronuntiant vocem *Deus* præcise et infinite, et ut plurimum cum articulo, et absque personali proprietate, Patrem significant. Exempli gratia:

Ἔστι δὲ καὶ ἰδικὰ, ἤγουν ὑποστατικά· οἷον ὁ Πατὴρ, Υἱὸς, ἅγιον Πνεῦμα. Τούτων ὄντων κοινῶν ὀνομάτων, τῶν ἐπὶ τῆς οὐσίας λεγομένων ἐλήφθη τὸ μὲν, *Θεός*, ἐπὶ τοῦ Πατρὸς, καὶ ἐγένετο αὐτῷ ὥσπερ ἐξαίρετον· διότι αἴτιος Υἱοῦ, καὶ Πνεύματος, καὶ εἰς αὐτὸν ἀναφέρονται. Τὸ δὲ, *Κύριος*, ἐπὶ τοῦ Υἱοῦ ὡσαύτως· τὸ δὲ, *ἅγιον Πνεῦμα*, ἐπὶ τοῦ Πνεύματος. C Ὅθεν οἱ ἀπόστολοι, καὶ πᾶσα σχεδὸν ἡ θεία Γραφὴ, ὅτ' ἂν εἴπῃ ὁ *Θεὸς*, οὕτως ἀπολύτως, καὶ ἀπροσδιορίστως, καὶ ὡς ἐπίπαν σὺν ἄρθρῳ, καὶ χωρὶς ἰδιώματος ὑποστατικοῦ, τὸν Πατέρα δηλοῖ. Οἷον·

« Paulus servus Jesu Christi, vocatus apostolus, segregatus in Evangelium Dei [g], » sive Patris. Iterum: « Multifariam multisque modis loquens olim patribus Deus[h], » hoc est, Pater. Et Symbolum fidei: « Credo in unum Deum, » hoc est, Patrem, « et in unum Dominum, » hoc est, Filium. Et Apostolus: « Etsi sunt qui dicantur dii, nobis tamen unus Deus, Pater [i]. » Et: « Quamvis multi Domini, nobis tamen unus est Dominus, Filius. » Deus vero peculiari ratione appellatur Pater; cum ipse Trinitatis sit unitio sive explicatio et quasi summa, ut dixit Theologus: « Nobis vero unus Deus Pater, quia una divinitas [j]. » Rursus: « Unus Deus retinebitur, si ad unum principium referamus, non autem componamus aut commisceamus [k]. » Iterum: « Pater unitio est, ex quo et ad quem referuntur, qui ex ipso sunt, Filius et Spiritus sanctus [l]. » Filius namque et Spiritus dicuntur Patris, non Pater

« Παῦλος δοῦλος Ἰησοῦ Χριστοῦ, κλητὸς ἀπόστολος, ἀφωρισμένος εἰς Εὐαγγέλιον Θεοῦ, » ἤτοι τοῦ Πατρός. Καὶ πάλιν· « Πολυμερῶς, καὶ πολυτρόπως πάλαι ὁ Θεὸς λαλήσας τοῖς πατράσιν, » ἤγουν ὁ Πατήρ. Καὶ τὸ σύμβολον τῆς πίστεως « [Πιστεύω] εἰς ἕνα Θεὸν, » ἤτοι τὸν Πατέρα, « καὶ εἰς ἕνα Κύριον, » ἤτοι τὸν Υἱόν. Καὶ ὁ Ἀπόστολος· « Εἴπερ γάρ εἰσι πολλοὶ θεοὶ [95], ἀλλ' ἡμῖν εἷς Θεὸς ὁ Πατήρ. » Καί· « Εἴπερ εἰσὶ κύριοι πολλοὶ, ἀλλ' ἡμῖν εἷς Κύριος ὁ Υἱός. » Θεὸς δὲ ἐξαιρέτως λέγεται· ἐπειδὴ ἡ ἕνωσις, ἤτοι D ἀνάπτυξις, καὶ ἀνακεφαλαίωσις τῆς Τριάδος, ὁ Πατήρ ἐστιν, ὡς εἶπεν ὁ Θεολόγος· « Ἡμῖν δὲ εἷς Θεὸς ὁ Πατὴρ, ὅτι μία θεότης. » Καὶ πάλιν· « Εἷς ἐν αἴτιον τοῦ Υἱοῦ, καὶ Πνεύματος ἀναφερομένων, οὐ συντιθεμένων, οὐδὲ συναλειφομένων. » Καὶ πάλιν· « Ἕνωσις ὁ Πατὴρ, ἐξ οὗ πρὸς ὃν ἀναφέρεται τὰ ἐξ αὐτοῦ· » ἐπειδὴ ὁ Υἱὸς, καὶ τὸ Πνεῦμα τοῦ Πατρὸς λέγονται, οὐχὶ ὁ Πατὴρ αὐτῶν. Οἷον· Ὁ Υἱὸς τοῦ

[f] I Cor. xv, 10. [g] Rom. i, 1. [h] Hebr. i, 1. [i] I Cor. viii, 5, 6. [j] S. Greg. Naz. *Orat. de statu episcoporum.* [k] ibid. [l] ibid.

VARIÆ LECTIONES.

[92] l. τούτου χάριν. [93] Χριστιανοί. [94] ὑπουργός. [95] λεγόμενοι.

Θεοῦ, Σοφία τοῦ Θεοῦ, Λόγος τοῦ Θεοῦ, Δύναμις τοῦ Θεοῦ, βραχίων τοῦ Θεοῦ, δεξιὰ τοῦ Θεοῦ. Καὶ τὸ Πνεῦμα ὡσαύτως· Πνεῦμα τοῦ Θεοῦ, δάκτυλος τοῦ Θεοῦ. Εἰς αὐτὸν οὖν τὸν Πατέρα ἀναφέρονται, οὐχὶ ὁ Πατὴρ εἰς αὐτά. Εἰ δὲ καὶ εὕρῃς τὸ *Θεός* ὄνομα ἐπὶ τοῦ Υἱοῦ, καὶ τὸ *Κύριος* ἐπὶ τοῦ Πατρὸς, καὶ τοῦ Πνεύματος, καὶ τὸ *Ἅγιος*, καὶ τὸ *Πνεῦμα* ἐπὶ τοῦ Πατρός· ὡς τό· « Ἅγιος ὁ Θεὸς, » δῆλον ὁ Πατήρ· καὶ τὸ « Πνεῦμα ὁ Θεός· » ταῦτα ὀνόματα τῆς φύσεως ὄντα κατηγοροῦνταί ποτε καὶ τῶν ὑποστάσεων.

Κατηγορικῶς οὖν ἐκ τῆς φύσεως λέγεται καὶ Υἱὸς ὁ *Θεός*· καὶ ὡς ἐπὶ τὸ πλεῖστον, χωρὶς ἄρθρου, εἰ μήπω πρόκειται περὶ αὐτοῦ ὁ λόγος εἰγοῦν ἡ φράσις. Καὶ τηνικαῦτα ἀναφορικὸν γένηται εἰς αὐτὸν, ὡς εἰς προεγνωσμένον πρόσωπον, τὸ ἄρθρον, ὡς ἔχει τὸ, « Ἐξ ὧν ὁ Χριστὸς τὸ κατὰ σάρκα, » καί· « Ὁ ὢν ἐπὶ πάντων Θεός. » Καὶ τοῦτο δὲ χρὴ γινώσκειν, ὅτι οὐδὲν τῶν ὀνομάτων τῆς οὐσίας τοῦ Θεοῦ δηλωτικόν ἐστιν· ὥσπερ καὶ τῶν λοιπῶν πραγμάτων. Ἐὰν γὰρ εἴπωμεν λίθον, ἢ χρυσὸν, ἢ βοῦν, ἢ ἄνθρωπον, τὴν οὐσίαν ἑκάστου διὰ τοῦ ὀνόματος δηλοῦμεν. Ἐὰν δὲ εἴπωμεν Θεὸν, ἢ καὶ Κύριον, ἢ Βασιλέα, ἢ Πατέρα, ἢ Υἱὸν, ἢ οἱονδηποτοῦν ὄνομα ἐπὶ Θεοῦ, ἐνέργειαν, ἢ σχέσιν σημαίνομεν. Θεὸς μὲν γὰρ ἢ ποιητὴς, ἐνεργείας· Βασιλεὺς δὲ, ἢ Δεσπότης, ἢ Πατὴρ, σχέσεως [94].

A illorum. Verbi gratia : Filius Dei, Sapientia Dei, Verbum Dei, Virtus Dei, brachium Dei, dextra Dei. Similiter et Spiritus : Spiritus Dei, digitus Dei. Ad Patrem igitur referuntur (72); non Pater ad illos. Quod si nomen *Dei* etiam Filio tributum reperias, et nomen *Domini* Patri et Spiritui, item nomen *Sancti* et *Spiritus*, Patri; ut in illo : « Sanctus Deus [m], » ubi manifestum est, significari Patrem, et in illo : « Spiritus est Deus [n], » noveris hæc et id genus alia nomina de natura enuntiari solita, enuntiari quandoque etiam de hypostasibus.

Simpliciter igitur ob naturam dicitur Filius, *Deus*, et plerumque sine articulo; nisi oratio, quæ præcessit, sit de ipso Filio. Tunc enim refertur
B articulus ad Filium, tanquam ad jam prius cognitam personam; ut in illo : « Ex quibus Christus secundum carnem [o]. » Et : « Qui est super omnia Deus benedictus [p]. » Neque hoc ignorare oportet, nullum nomen divinam essentiam exprimere, ut fieri solet in aliarum rerum nominibus. Si enim nominemus lapidem, aurum, bovem, hominem, substantiam uniuscujusque indicamus. At si de Deo dicamus : Deus, Dominus, Rex, Pater, Filius, aut aliud quidpiam, actionem vel habitudinem significamus. Deus enim vel creator, nomina sunt actionis; Rex autem, Dominus, vel Pater, habitudinis.

[m] Psal. XCVIII, 9 et alibi. [n] Joan. IV, 24. [o] Rom. IX, 5. [p] Ibid.

VARIÆ LECTIONES.

[94] alter M. S. σχέσεων.

NOTÆ.

(72) Nisi qua relativum refertur ad terminum, et principium ad id, quod ex ipso.

THEODORI ABUCARÆ

DE UNIONE ET INCARNATIONE.

(GALLAND. *Vet. Patrum Biblioth.* t. XIII, p. 286.)

Περὶ ἑνώσεως καὶ σαρκώσεως· καὶ ὅτι ἡ μὲν ὑπόστασις ἐσαρκώθη, ἡ δὲ φύσις τῆς θεότητος ἡνώθη τῇ ἀνθρωπίνῃ φύσει ἐν ὑποστάσει τοῦ Θεοῦ Λόγου.

Ἡ μὲν σάρκωσίς ἐστιν ἐνανθρώπησις, καὶ ἡ ἐνανθρώπησίς ἐστι τὸ τὸν ἐνανθρωπήσαντα ἄνθρωπον ἀπεργάσασθαι· τὸ δὲ ποιῆσαντα τὸν ἐνανθρωπήσαντα ἄνθρωπον, ἐπὶ τῷ κατηγορεῖσθαι τὸν ἄνθρωπον τοῦ ἐνανθρωπήσαντος, καὶ δέχεσθαι τὸν ἐνανθρωπήσαντα τό τε τοῦ ἀνθρώπου ὄνομα καὶ τὸν ὁρισμὸν, ὥσπερ τῶν ἀνθρώπων ἕκαστος. Ὁ δὲ ἄνθρωπος ὁ κατηγορούμενος φύσεως ὑπάρχει ὄνομα, καὶ ἡ φύσις ἐστὶν ἡ κατηγορουμένη τῆς ὑποστάσεως, οὐχὶ δὲ φύσις κατὰ φύσεως. Εἰ τοῦτο τοίνυν ὁμολογοῦμεν, ὡσαύτως ἔχει δηλονότι ἡ ὑπόστασις ἡ ἐνανθρωπήσασα, ἢ ὁ αὐ-

C *De unione et incarnatione : quodque persona sive subsistentia fuerit incarnata; divina autem natura humanæ unita, in persona Dei Λόγου.*

Incarnatio est assumere humanitatem, atque hæc assumptio humanitatis eum sistit jam hominem, qui humanitatem assumpsit. Isthæc vero res consistit in eo, ut ille qui humanitatem assumpsit, atque homo factus est, præterea quod homo prædicetur de eo, qui humanitatem in se suscepit, ferat quoque hominis nomen et definitionem, perinde ac quilibet aliorum hominum : qui prædicatur homo, naturæ est terminus, naturaque prædicatur de subsistentia, nequaquam autem natura de natura. Igitur, si largiamur istud, pari modo

se habet subsistentia, sive persona, quæ humanitatem assumpsit, aut Filius æternus. Hic enim perfectus exsistens Deus, homo factus est sine ulla mutatione, inque eo ipso est perfectus Deus et perfectus homo, Deique nomen de illo prædicatur, quemadmodum prædicatur de Patre et Spiritu sancto : ita etiam hominis nomen de ipso effertur, ut solemus efferre de quocunque tandem hominum. Idem est Filius, atque idem ille incarnatus; ideo tamen non dicimus divinam naturam assumpsisse carnem; quandoquidem non licet de ipsa homo ut prædicetur sive etiam humana natura, ut præfati sumus, dicentes quod natura de natura omnino non prædicatur, quocunque denique respectu.

Sic itaque comparatum est cum persona æterni Filii, ut exemplo rem ostendamus, quasi cum amne torrenti, qui flumina duo accipit, diciturque torrens cepisse illa duo flumina, neutro fluminum flumen absorbente. Ad hunc modum æternus Filius Dei nomen portat et defininionem, Deo nequaquam in se recipiente nomen vel definitionem hominis, uti nec homo capit aut nomen aut definitionem Dei. Verum persona æterni Filii, duarum naturarum, divinæ, inquam, et humanæ, perfecte planeque recipit nomen et definitionem : itaque, licet dicamus quod homo Deus sit factus, non dicimus factum esse Deum, quasi homo nomen et definitionem Dei susceperit. Si enim ita foret, ejusdem substantiæ esset cum Patre et Spiritu sancto, non secus atque æternus Filius, qui caro factus est, ejusdem cum nobis est substantiæ. Atqui, ne commode quidem potest fingi, hominem habere eamdem substantiam, quam habent Pater et Spiritus sanctus : cæteroquin hoc pacto ipse homo esset persona, ac divina natura ei inesset pro subsistentia, et exhausta ab ipso, et moveret homo deitatem. Animadvertendum etiam istud est, quod nihil absolute prædicetur de divina natura, quod non æqualiter efferatur de Patre, Filio, et Spiritu sancto : exempli causa, vita, lux, sine principio, immutabilis, hisque similia, de Patre, Filio, et Spiritu sancto prædicantur. Si jam de divina natura prædicaretur incarnatio, de Patre quoque et Spiritu sancto, æque ac illa, quæ modo adduximus, prædicarentur. Verum istud quidem est perabsurdum, et tenuis mortalium species aliqua mentis et cæci pectoris, nunquam ex ore proferenda : hoc est, nemo dixerit, Patrem et Spiritum sanctum fuisse incarnatos.

Ubi vero inquiat non nemo, quod omnia absolute et primario de persona prædicata, referantur secundario etiam ad naturam : sic postquam de æterno Filio, qui persona est sanctissimæ Trinitatis, prædicetur incarnatio, proxime quoque referendam esse incarnationem de persona ad naturam : talis homo intelligat, quod ea, quæ inferuntur secundario a persona ad naturam, multo ante in natura exstiterunt potentia, deinde persona actu

A διος Υἱός. Ὁ γὰρ ἀΐδιος Υἱὸς, Θεὸς τέλειος ὑπάρχων, γέγονεν ἄνθρωπος τροπῆς ἐκτὸς, καὶ ἔστιν ἐν ταυτῷ Θεὸς τέλειος καὶ ἄνθρωπος τέλειος, καὶ κατηγορεῖται αὐτοῦ τὸ *Θεός* ὄνομα, καθὼς καὶ τοῦ Πατρὸς καὶ τοῦ Πνεύματος, καὶ τὸ ἄνθρωπος πάλιν καθὼς ἑκάστου τῶν λοιπῶν ἀνθρώπων. Καὶ ἔστιν ὁ αὐτὸς Υἱὸς καὶ σεσαρκωμένος· ἡ δὲ θεία φύσις διὰ τοῦτο σεσαρκῶσθαι οὐ λέγεται, ἐπειδὴ οὐκ ἐνδέχεται κατηγορεῖσθαι αὐτῆς τὸν ἄνθρωπον, εἴτ' οὖν τὴν ἀνθρωπίνην φύσιν, ὡς ἔφθημεν, εἰρηκότες, ὅτι φύσεως φύσις οὐ κατηγορεῖται παντελῶς, οὐδὲ καθ' οἷον δήποτε τρόπον.

Γέγονεν οὖν, ὡς ἐν ὑποδείγματι φάναι, ἡ ὑπόστα-
B σις τοῦ ἀϊδίου Υἱοῦ, καθάπερ τις χειμάῤῥους δύο τινὰς ποταμοὺς δεχόμενος, καὶ λέγεται δεκτικὸς τῶν δύο ποταμῶν εἶναι ὁ χειμάῤῥους, ἑκατέρου ποταμοῦ μὴ ἐπιδεχομένου τὸν ἕτερον. Τοῦτον δὴ τὸν τρόπον ὁ ἀΐδιος Υἱὸς δέχεται τὸ τοῦ Θεοῦ ὄνομά τε καὶ τὸν ὅρον, τοῦ Θεοῦ μηδαμῶς ἐπιδεχομένου τὸ ὄνομα ἢ τὸν ὅρον τοῦ ἀνθρώπου, μηδ' ἂν τοῦ ἀνθρώπου τὸ ὄνομα ἢ τὸν ὅρον τοῦ Θεοῦ ἐπιδεχομένου. Ἀλλ' ἡ ὑπόστασις τοῦ ἀϊδίου Υἱοῦ ἐπιδέχεται τῶν δύο φύσεων, θεότητός τέ φημι καὶ ἀνθρωπότητος, ἀνελλιπῶς τό τε ὄνομα καὶ τὸν ὅρον· ὡς, εἰ καὶ λέγεται ὁ ἄνθρωπος τεθεῶσθαι, οὐχ ὡς τοῦ ἀνθρώπου τὸ ὄνομα καὶ τὸν ὁρισμὸν τοῦ Θεοῦ ἐπιδεξαμένου λέγεται τεθεῶσθαι. Εἰ γὰρ ἦν οὕτως, ὁμοούσιος ἂν ὑπῆρχε τῷ Πατρὶ
C καὶ τῷ Πνεύματι, καθὼς ὁ ἀΐδιος Υἱὸς σαρκωθεὶς γέγονεν ἡμῖν ὁμοούσιος. Καὶ τοῦτο οὐδὲ πλάσαι ῥᾴδιον, τὸ λέγειν ὅτι ὁμοούσιος τῷ Πατρὶ καὶ τῷ Πνεύματι ὁ ἄνθρωπος· ἄλλως τε, εἰ ἦν οὕτως, αὐτὸς ἂν ὁ ἄνθρωπος ὑπῆρχεν ἡ ὑπόστασις, καὶ ἦν ἡ θεία φύσις ἐνυπόστατος αὐτῷ καὶ κενουμένη ὑπ' αὐτοῦ, καὶ ἦν ὁ ἄνθρωπος ὁ κινῶν τὴν θεότητα. Ἰστέον δὲ καὶ τοῦτο, ὡς οὐκ ἔστι τῆς θείας ἀπολύτως (sic) κατηγοροῦσαν φύσεως, ὃ μὴ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος ἐπίσης κατηγορεῖται· οἷον φέρε εἰπεῖν, ζωὴ, καὶ φῶς, καὶ ἄναρχος, καὶ ἀναλλοίωτος, καὶ τὰ τούτοις συγγενῆ, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος κατηγορεῖται. Εἰ οὖν ἡ σάρκωσις τῆς θείας φύσεως κατηγορεῖτο, καὶ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος
D κατηγορεῖτο, καθὼς καὶ τὰ προειρημένα. Ἀλλὰ τοῦτο πάσης ἀτοπίας ἀνάμεστον καὶ μόνον φανταζόμενον κατὰ ψιλὴν ἐπίνοιαν, μὴ ὅτι καὶ λεγόμενον, τουτέστι, τὸ λέγειν σεσαρκῶσθαι τὸν Πατέρα καὶ τὸ Πνεῦμα τὸ ἅγιον.

Εἰ δέ τις φαίη, ὅτι πάντα τὰ κατηγορούμενα ἀπολύτως ἢ κυρίως τῆς ὑποστάσεως, ἀναφέρεται κατὰ δεύτερον λόγον καὶ ἐπὶ τὴν φύσιν, καὶ ἐπειδὴ τοῦ ἀϊδίου Υἱοῦ, ὑποστάσεως ὄντος ἐκ τῆς πανσέπτου Τριάδος, κατηγορεῖται ἡ σάρκωσις, ἀναφερέσθω ἀπὸ τῆς ὑποστάσεως ἐπὶ τὴν φύσιν κατὰ δεύτερον λόγον· ἴστω ὁ τοιοῦτος, ὅτι τὰ ἀναφερόμενα κατὰ δεύτερον λόγον ἀπὸ τῆς ὑποστάσεως ἐπὶ τὴν φύσιν, ταῦτα πολὺ πρότερον ἐν τῇ φύσει δυνάμει ὑπῆρχεν,

ἐξ ἧς [97] ἡ ὑπόστασις ἐνεργείας κεκληρονόμηκεν· ὅθεν εὐλόγως ἀπὸ τῆς ὑποστάσεως ἐπὶ τὴν φύσιν ἀναφέρεται, ἅτε προόντα μὲν δυνάμει ἐν τῇ φύσει, ἐνεργείᾳ δὲ ἐν τῇ ὑποστάσει εὑρισκόμενα. Ὥσπερ ἡ διαίρεσις τῶν εἰδῶν δυνάμει οὖσα ἐν τῷ γένει, ἐν δὲ τοῖς εἴδεσιν ἐνεργείᾳ, εὐλόγως ἀπὸ τῶν εἰδῶν κατὰ δεύτερον λόγον ἐπὶ τὸ γένος ἀναφέρεται. Οἷον, τὸ λογικόν ἐστιν ἐν τῷ ζώῳ δυνάμει, ἐν δὲ τῷ ἀνθρώπῳ ἐνεργείας [98]· καὶ λέγεται τὸ ζῶον λογικὸν κατὰ δεύτερον λόγον, διὰ τὸ τὸν ἄνθρωπον εἶναι λογικόν. Καὶ ὥσπερ αἱ ἰδίως διαφοραὶ χαρακτηριστικαὶ τῆς ἑκάστου τῶν ἀνθρώπων ὑποστάσεως οὖσαι, δυνάμει μὲν ἐν τῷ ἀνθρώπῳ θεωροῦνται, ἐν δὲ τῷ Σωκράτει καὶ Πλάτωνι ἐνεργείᾳ πεφύκασι· κἀντεῦθεν ἀπὸ τῆς ὑποστάσεως ἐπὶ τὴν φύσιν, ἢ ἀπὸ τοῦ Σωκράτους ἐπὶ τὸν ἄνθρωπον ἀναφέρονται. Οἷον, τὸν Σωκράτην γρυπὸν εἶναί φαμεν, ἢ φαλακρὸν, κατὰ δεύτερον δὲ λόγον καὶ τὸν ἄνθρωπον γρυπὸν ὡσαύτως καὶ ὑπάρχειν, ἢ φαλακρὸν λέγομεν, διὰ τὸν Σωκράτην· ὥσπερ εἴπομεν ἐκ τοῦ ἀνθρώπου κεκληρονομηκέναι τὴν γρυπότητα καὶ τὴν φαλακρότητα. Τῶν τοίνυν τὴν τοῦ Θεοῦ Λόγου ὑπόστασιν ἀπὸ τοῦ ἀνθρωπείου φυράματος, διὰ τὴν καθ' ὑπόστασιν ἕνωσιν δεδραμηκότων, οὐδὲν παντάπασι οὔτε δυνάμει, οὔτε ἐνεργείᾳ ἐν τῇ ἀκτίστῳ καὶ ἀσωμάτῳ καὶ ἀπαθεῖ θείᾳ φύσει ἦν. Τούτου δὲ εἵνεκεν ὁ μὲν ἀΐδιος σεσαρκῶσθαί τε καὶ ἐσταυρῶσθαι καὶ τεθνάναι λέγεται. Ἡ δὲ θεία φύσις οὐδαμῶς, εἰ καὶ ὑπόστασις αὐτῆς καθέστηκεν οὖσα.

Εἰ δέ τις ἑαυτὸν αἰτιῷ τὸ [99] βραδὺ εἰς κατανόησιν εἶναι τῶν εἰρημένων, καὶ τὸν ἑκάστου νοῦν λέγοι μὴ παραδέχεσθαι, ὅπερ, ἡ θεία φύσις οὖσα ἐν τῇ ὑποστάσει τοῦ Υἱοῦ ἀμετακίνητός τε καὶ ἀχώρητος, οὐ συμπάσχων αὐτῇ πασχούσῃ καὶ ἀπογινομένου τινὸς ἐν τῇ ὑποστάσει, οὐ λέγεται τοῦτο καὶ ἐν τῇ φύσει γεγονέναι, τῇ μὴ διισταμένῃ τῆς ὑποστάσεως τοῦ ἀϊδίου Υἱοῦ· ἡμεῖς τὸ ἄπορον ἐπιλύσαντες, ταχίστην αὐτῷ τὴν θεραπείαν ἐπάξομεν, ἐκ τῶν συντρόφων καὶ τῶν ἐν χερσὶν ὁρωμένων τὴν ἀπόδειξιν ποιούμενοι. Οἶσθα πάντως, ὦ οὗτος, ὡς ἕκαστος τῶν ἀνθρώπων ἐκ ψυχῆς ἀΰλου καὶ σώματος ὑλικοῦ σύγκειται, Σωκράτης, φέρε εἰπεῖν, ἢ Πλάτων· καὶ ὡς ἔνεστιν αὐτῷ ἡ ψυχὴ τοῦ Σωκράτους, ἀπ' αὐτοῦ χωρισθεῖσα, τὸν Σωκράτην μένειν ἀδύνατον. Λέγεται δὲ Σωκράτης αὐξάνεσθαί τε [1] ἐκ μικροῦ μέγας γίγνεσθαι, τέμνεσθαι ἢ καίεσθαι, τῆς αὐτῆς ψυχῆς μηδὲν τούτων ὑφισταμένης, ὡς πᾶσιν εὔδηλον. Τοῦτον οὖν τὸν τρόπον κατηγορεῖ [2] τοῦ ἀϊδίου Υἱοῦ τὸ προκόπτειν σαρκὶ καὶ αὐξάνεσθαι, καὶ εἴ τι ἄλλο τοιοῦτον ἀνθρώπειον, μηδενὸς τούτων τῇ θεϊκῇ φύσει προσαπτομένου, ὥσπερ οὐδὲ τοῦ Σωκράτους. Πολλῷ μᾶλλον οὕτως οὐδὲ τῆς ἀκηράτου φύσεως κατηγορηθήσεται τὰ ὅσα σαρκικῶς τοῦ ἀϊδίου Υἱοῦ διὰ τὴν πρόσληψίν ἐστιν κατηγορούμενα. Ὥσπερ δὲ λεγόντων ἡμῶν τετμῆσθαι Σωκράτην, οὐχ αὐτὴν τοῦ Σωκράτους ψυχὴν, ἀλλὰ τὸ σῶμα τετμημένον εἶναι

A est consecuta : hinc, quæ prius potentia fuerunt in natura, inque persona actu deprehensa, recte a persona ad naturam inferuntur. Haud dissimiliter, cum divisio specierum in genere sit potentia, in speciebus vero jam actu ipso, ratione fit ut a speciebus ad genus inferatur. Quo modo, cum τὸ rationale sit in animali potentia, in homine vero actu; dicimus animal rationale secundario, quod homo sit rationalis. Ad hæc, quemadmodum differentiæ proprie characteristicæ, quæ cujusque hominum sunt personæ, potentia quidem cernuntur in homine, in Socrate vero et Platone fuerunt actu ; tunc quoque a persona sive individuo, aut a Socrate ad hominem referuntur. Sic Socratem dicimus habere nasum aduncum, aut calvum B esse ; secundario autem, propter Socratem, ipsum hominem esse nasi adunci aut calvum perhibemus, prout ab homine enuntiavimus accepisse illam nasi aduncitatem, vel illam calvitiem. Verumtamen omnium horum, quæcunque Dei Λόγου personæ ab humana massa, propter unionem personalem, accessserunt, nihil unquam quidquam, neque potentia, neque actu, in non creata, non corporea, non patibili erat divina natura. Hujus rei gratia æternum sane Filium dicimus carnem assumpsisse, crucifixum et mortuum esse; minime vero, naturam divinam, quamvis talia personæ ejus obtigerint.

C Quod si seipsum aliquis arguat, se a nobis dicta tardius assequi, atque objici ; ac non facile cujuscunque tandem capere mentem, quare divina natura, cum in persona Filii fuerit immota et non separata, non passa fuerit, cum ista pateretur; cum aliquid in persona corrumpatur, idem tamen etiam non dicatur evenisse in natura, quæ nihil differat a persona æterni Filii. Nos dubium explicaturi, confestim illi remedium adhibebimus, rem demonstraturi per familiaria, quæque ante oculos manusque cernimus quotidie. Abunde nosti, quisquis es, homines omnes ex anima immateriali, et corpore materiali componi : verbi gratia Socratem, aut Platonem ; et, quemadmodum illi inest anima Socratis, si separetur ab eo, So- D cratem manere impossibile est. Dicunt nihilominus Socratem crescere, ex parvo fieri magnum, secari, uri ; anima ipsa nihil ejusmodi sufferente, ut nemini obscurum est, neque absconditum. Hac ratione igitur de æterno Filio prædicatur, quod proficiat, quod corpore incrementum capiat, et si quid aliud humanum est ; ut nihil rerum talium adhæreat divinæ naturæ, veluti ne naturæ quidem Socratis. Quin potius ita de immortali natura minime etiam prædicabuntur, quæcunque carnaliter de æterno Filio, propter assumptionem carnis prædicantur. Sicut, quando verba facimus de Socrate

VARIÆ LECTIONES.

[97] Forte ἑξῆς. [98] Forte ἐνεργείᾳ. [99] αἰτιῷτο. [1] Leg. τε καί. [2] Leg. κατηγορεῖται.

saucio, non animam, sed corpus ejus plagam sustinuisse arbitramur: ita quoque, dum æternum Filium lancea perforatum fuisse dicimus, non ad naturam ejus divinam, incorruptibilem, interitui non obnoxiam penetrasse vulnus; sed in carnem, quæ lacerari, quæ vulnera suscipere potuit, persuademur. Novo argumento controversiam solvimus. Mens nostra una est eademque, ac per hos quidem oculos visibilia recipit; habet tamen aliam adhuc visionem sibi propriam (præter illam quæ fit per membra oculorum), quamque theoriam appellamus. Si contingat lædi corporis videndi facultatem, neutiquam concludimus non videre mentem, dum ipsi salva est et integra naturalis ac intellectualis videndi facultas. In hunc modum æternus Filius fertur passus esse secundum carnem, divina ejus natura non patiente.

Verum quid hic vel dictu vel factu opus est, ubi vel in corpore, qualitate et crassitie istud deprehenditur? An est quisquam qui ignoret, quod mens videt oculis, auribusque audit; insidet autem cerebro videndi et audiendi facultas, alterutra subsistente sine altera, quibuscum etiam ipsa mens commoratur. Hæc cum ita conjungantur et cohabitent in eodem subjecto, sæpe evenire solet ut visioni exteriori, vel auditui, vel ipsi denique menti aliquid incommodi accidat; attamen unius nocumentum non lædit reliqua, dum illarum naturalis potentiæ status manet incolumis. Post hoc usque adeo mirum non est, si corpore æterni Filii patiente, nihilominus natura ejus non dissoluta passione caruit, perstititque illæsa, quæ super res omnes longissime elata undique dominatur, nec passiones ullo modo sustinet; in qua, juxta principem apostolorum, non est alteratio, neque mutationis quidem adumbratio. Aliud tibi proferam exemplum, per quod, tanquam in speculo, videas quo pacto, si vel passio vel corruptio acciderint alicui subsistentiæ, ad naturam non pertingant, quantumvis nullam aliam habuerit subsistentiam, nisi unicam suam naturam. Fac, mi dilecte, ex auro vel ære formaveris statuam atque elaboraveris, si deinde rursus conflasti, viri imago, quæ nihil est, perit; aurum autem sive æs, quod statuæ præbuit naturam, salvum manet et integrum. De reliquo cave secteris nimium exempla, atque prudenter animadverte, non omnem, quæ inde tibi oriatur, ideam deducere ad divina dogmata, sed rudes esse adumbrationes quasdam et quasi ductus aliquos, solius theoriæ causa, propter quam tradita recipimus, sed analogice tantum. Quin imo perlonge submove ab hominibus piis, et qui sibi probe constant, quodcunque alienum et discrepans videatur. Discerne semper simile a dissimili, ad exemplum ventilatoris maxime industrii, qui separat a frumento, quidquid vel paleæ speciem refert.

A γινώσκομεν· οὕτως φασκόντων ἡμῶν τὸν ἀΐδιον Υἱὸν τετρῶσθαι τῇ λόγχῃ, οὐκ εἰς θεϊκὴν αὐτοῦ [φύσιν], τὴν ἄφθαρτον καὶ ἀνόλεθρον, κεχωρηκέναι τὴν τρῶσιν, ἀλλ' εἰς τὴν αὐτοῦ σάρκα, τὴν δυναμένην τιτρώσκεσθαί τε καὶ τέμνεσθαι, νοοῦμεν. Καὶ ἄλλοθέν σοι παρέξομεν τῆς ἀπορίας ἀπόλυσιν. Ὁ ἡμέτερος νοῦς αὐτὸς ὤν, ὁ διὰ τῶν σωματικῶν ὀφθαλμῶν τῶν ὁρώντων ἀντιλαμβανόμενος, καὶ ἄλλην ὅρασιν ἰδιάζουσαν ἔχει, παρὰ τὴν δι' ὀφθαλμῶν διαρθροῦσαν, ἣν καὶ θεωρίαν καλοῦμεν. Εἰ οὖν συμβαίη πεπηρῶσθαι τὴν τοῦ σώματος ὀπτικὴν δύναμιν, οὐ φαμὲν τὸν νοῦν μὴ βλέπειν, σωζομένης αὐτῷ ἀπαρατρέπτου καὶ εὐλαβοῦς [3] τῆς φυσικῆς νοερᾶς βλεπτικῆς διοπτασίας. Οὕτως δὴ καὶ ὁ ἀΐδιος Υἱὸς λέγεται πεπονθέναι τῇ σαρκὶ, τῆς θείας αὐτοῦ B φύσεως ἀπαθοῦς διαρκούσης.

Ἀλλὰ τί δὴ [4] ἐπὶ τούτοις ἄγεσθαι, ὅπου γε ἐν σώματι καὶ πηλικότητι καὶ παχύτητι τοῦτο θεωρεῖται; Ἴσμεν γὰρ ἅπαντες, ὡς ὁ νοῦς διὰ τῶν ὀφθαλμῶν ὁρᾷ καὶ διὰ τῶν ὤτων ἀκούει· ἐνίδρυται δὲ τῷ ἐγκεφάλῳ ἥ τε ὁρατικὴ καὶ ἀκουστικὴ αἴσθησις, ἑκατέρα παρὰ τὴν ἑτέραν ὑπάρχουσα, μεθ' ὧν καὶ ὁ νοῦς αὐλίζεται. Τούτων οὖν ἀλλήλοις ἐν ἑνὶ συνημμένων καὶ διαιτωμένων τῷ ὑποκειμένῳ, συμβαίνει πολλάκις, τὴν σωματικὴν ὅρασιν ἢ τὴν ἀκοὴν, ἢ τὸν νοῦν αὐτὸν βλαβῆναι· καὶ ἡ τοῦ ἑνὸς βλάβη οὐ λυμαίνεται τὰ λειπόμενα, τῆς αὐτῶν φυσικῆς δυνάμεως ἀβλαβοῦς τηρουμένης. Μὴ τοίνυν C καταπληκτέον ἄγαν, εἰ τοῦ σώματος τοῦ ἀϊδίου Υἱοῦ πάσχοντος, οὐδὲν ἧττον ἡ ἀδιάσπαστος αὐτοῦ διετέλεσε φύσις ἀπαθής τε καὶ ἀπήμαντος, ἡ πάσης οὐσίας ὑπερηρμένη, καὶ πάντων δεσπόζουσα, καὶ παθῶν παντελῶς ἀνεπίδεκτος· παρ' ᾗ, κατὰ τὸν κορυφαιότατον ἀπόστολον, οὐκ ἔστιν ἀλλοίωσις ἢ τροπῆς ἀποσκίασμα. Τετέξομαι (sic) δέ σοι καὶ ἕτερον ὑπόδειγμα, δι' οὗ κατοπτρίσεσθαι δυνήσῃ, πῶς ἢ [5] πάθος ἢ φθορὰ συμβῇ τινι ὑποστάσει, ἐπὶ τὴν φύσιν οὐ διαβαίνει, κἂν λάχῃ μὴ ἐχούσῃ (sic) ὑπόστασιν, εἰ μὴ μίαν φύσιν. Ἀπὸ χρυσοῦ τυχὸν, ὦ φιλότης, ἢ χαλκοῦ μορφωσάμενος ἀνδριάντα καὶ κατασκευάσας, εἰ πάλιν αὐτὸν ἀναχωνεύσῃς, τὸ μηδὲν, ἀνδρείκελον ἀπόλλυται μόρφωμα· ὁ δὲ χρυσὸς ἢ ὁ χαλκὸς, ὅστις τῷ ἀνδριάντι φύσις ὑπῆρχεν, ἀβλαβής τε μένει καὶ D ἄφθορος. Ἀλλά μοι [6] λίαν τοῖς ὑποδείγμασι πρόσεχε, νουνεχῶς καὶ φυλάττου, μὴ πᾶσαν τὴν ἐξ αὐτῶν ἀνατέλλουσάν σοι οἰκεῖα [7] μετάγειν ἐπὶ τὰ θεῖα δόγματα, ἀλλὰ παχήματά τινα καὶ ἐμφάσεις, ὁρμαζούσας [8] εἰς θεωρίαν, ἧς εἵνεκεν παραλαμβάνονται μόνον ἀναλόγως. Πᾶς ἀπεπεμφαῖνον [9] καὶ ἀπεοικὸς ἀποπεμπόμενος ὡς ἀποτάτω φρεσὶν εὐσεβέσι καὶ σταθεραῖς, διακρίνων ἀεὶ τοῦ ὁμοίου τὸ ἀνόμοιον, οἷά τις λικμήτωρ ἀκριβέστατος τοῦ σίτου τὸ ἀχυρῶδες ἐκλικμώμενος.

VARIÆ LECTIONES.

[3] ἀβλαβοῦς. [4] δεῖ. [5] leg. εἰ. [6] ἀλλὰ μή. [7] ἰδέαν. [8] leg. ἁρμοζούσας. [9] ἀποπεμπόμενον.

A Ἡ μέντοι τῶν δύο φύσεων ἕνωσις, τῆς θεότητός τε, φημὶ, καὶ ἀνθρωπότητος, οὕτως ἐν τῇ ὑποστάσει τοῦ μονογενοῦς τοῦ ἀϊδίου Υἱοῦ τοῦ Θεοῦ λέγεται γεγονέναι, δίχα τροπῆς καὶ φυρμοῦ καὶ συγχύσεως· ὡς ἦν μὲν ὁ συνάναρχος τῷ Πατρὶ καὶ συναΐδιος, μὴ ἔχων ἐν τῇ ἰδιότητι αὐτοῦ φύσιν ἑτέραν κατηγορουμένην αὐτοῦ παρὰ τὴν θείαν πατρικὴν, τὴν ἄκτιστόν τε καὶ ἀπερίγραπτον· διὰ δὲ πλῆθος ἐλέους καὶ φιλανθρωπίαν ἄφατον, δι' ἡμετέραν σωτηρίαν ἐπ' ἐσχάτων τῶν ἡμερῶν κατεληλυθὼς ἐξ οὐρανοῦ, ὅθεν οὐκ ἀπέστη τῇ πάντα πληρούσῃ θεότητι, καὶ σαρκωθεὶς ἐκ Πνεύματος ἁγίου καὶ τῆς παναμώμου καὶ Ἀειπαρθένου Μαρίας, ἔσχεν ἐν αὐτῷ τελείαν καὶ ἀνελλιπῆ τὴν κτιστὴν καὶ παθητὴν καὶ ἀνθρώπειον οὐσίαν, κατηγορουμένην αὐτοῦ, καθὼς καὶ ἡ θεία φύσις. B Ἐπεὶ οὖν ἐν αὐτῷ συνῆλθον αἱ δύο φύσεις, καὶ ὁμοῦ κατ' αὐτοῦ κατηγοροῦνται, μετὰ πάντων τῶν φυσικῶν αὐτῶν ἰδιωμάτων, διὰ τοῦτο λέγονται ἄμφω ἐν ἀλλήλαις ἐν αὐτῷ ἡνῶσθαι, ἀτρέπτως τε καὶ ἀσυγχύτως καὶ ἀναλλοιώτως· κατὰ μίαν γὰρ καὶ τὴν αὐτὴν τοῦ ἀϊδίου Υἱοῦ ὑπόστασιν ἡνώθησαν αἱ δύο φύσεις. Ὅθεν καὶ ὁ αὐτὸς ἀΐδιος Υἱὸς κεχρημάτικεν ἀριθμούμενος κατὰ τὴν θείαν φύσιν μετὰ τοῦ Πατρὸς καὶ τοῦ Πνεύματος, καὶ μεθ' ἡμῶν κατὰ τὴν ἡμετέραν ἀνθρωπείαν φύσιν ὁ αὐτὸς ἀριθμούμενος, καὶ κατὰ τοῦτο ὁ αὐτὸς καὶ μετὰ τὴν αὐτοῦ ἐνανθρώπησιν, καὶ τὴν ἄφραστον τῶν ἑαυτοῦ συνδραμουσῶν δύο φύσεων ἄφυρόν τε καὶ ἀσύγχυτον ἕνωσιν, εἷς ἐστι τῶν ἀνθρώπων, οὐκ ἄλλο καὶ ἄλλο, δι' οὗ σεσώσμεθα, καὶ εἰς τὴν ἀρχαίαν ἐκλήθημεν C μακαριότητα, διὰ τῶν σωτηρίων αὐτοῦ παθημάτων, τοῦ τε ζωοποιοῦ θανάτου καὶ τῆς τριημέρου αὐτοῦ ταφῆς, καὶ νεκρῶν ἀναστάσεως, ἀθανατισθέντες, καὶ ἀφθαρτισθέντες, ᾧ δόξα, τιμὴ καὶ κράτος, σὺν τῷ ἀνάρχῳ αὐτοῦ Πατρὶ, καὶ τῷ παναγίῳ Πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

A Duarum naturarum, divinitatis, inquam, et humanitatis unio, in persona unigeniti æterni Filii Dei sic facta esse dicitur, ut nulla foret nec mutatio, nec mistura, nec confusio; esset sine principio ut Pater, et coæternus Filius; neque, si proprietatem ejus spectes, alia de ipso prædicaretur natura, quam divina paterna, non creata, non circumscripta. Propter misericordiæ vero magnitudinem, et humanitatem nulla verborum copia exprimendam, per dies ultimos, ut salutem nobis largiretur, descendit e cœlo, unde deitate sua omnia implente nunquam abfuit, homo factus est per Spiritum sanctum et immaculatam semperque Virginem Mariam, tenuit perfectam, et cui nihil deest, humanam essentiam, quæ de ipso prædicatur perinde ac natura B divina. Quoniam ergo in eo convenerunt duæ naturæ, et simul de eo prædicantur, cum omnibus ipsarum proprietatibus naturalibus, dicuntur utræque sibi invicem in eo uniri, immutabiliter tamen, inconfuse et inalterabiliter : juxta unam enim eamdemque personam æterni Filii unitæ sunt hæ duæ naturæ. Hinc idem ille æternus Filius secundum divinam naturam numeratur cum Patre et Spiritu sancto, et nobiscum etiam numeratur juxta humanam nostram, proptereaque vel post naturam humanam assumptam, et inexplicabilem duarum ejus naturarum concurrentium non mistam neque confusam unionem, idem est unus sacratissimæ Trinitatis, atque etiam idem unus est hominum, non C aliud aliudque, qui nos servavit et in pristinam evocavit libertatem, qui per salutares dolores suos, per mortem vivificantem, per trium dierum sepulturam, per resurrectionem a mortuis, nos reddidit immortales et incorruptibiles, cui gloria, honor et potestas, cum Patre ejus sine principio, et sanctissimo Spiritu, in sæcula sæculorum. Amen.

EX CHRONICO SYRIACO DIONYSII TELMARENSIS

FRAGMENTUM.

(Ang. Mai, *Spicileg. Rom.* t. x, p. 223.)

Placet nobis vacuam forte paginam occupare narratiuncula de imprudente quodam Phocæ imperatoris jussu, qui salutare baptismi mysterium sacrilegio et perfidiæ invitorum Judæorum, contra morem Christianæ Ecclesiæ, polluendum obtulit. Rem hanc quinque tantum verbis attigerat Assemanus **Bibl. Orient. II, p. 102 : Phocas imperator Judæos baptizari compulit.** ***Verumtamen integer Dionysii textus in nostram linguam conversus ita se habet*** **:**

Anno Græcorum 928 (*Christi* 617) jussit Phocas imperator ut omnes ditioni suæ subjecti Judæi baptizarentur; misitque Hierosolymam atque in universam Palæstinam Georgium provinciæ præfectum, ut Judæi cuncti in ea civitate finitimisque locis morantes ad baptismum adigerentur. Is primores illorum sibi astantes interrogavit, num servi imperatoris essent? Quibus affirmantibus, ait : Mandat terræ dominus, ut baptismum admittatis. Silentibus ipsis, Quidni, inquit præfectus, respondetis? Tunc D e primoribus unus, nomine Nunus, respondit : Quidquid terræ dominus jusserit, confestim exsequemur, hoc uno excepto, quod præstare nequimus, quia nondum suscipiendi sacri baptismi tempus advenit. Hoc audito, magnopere excanduit præfectus, surgensque alapam Nuno inflixit dicens : Qui servi estis, cur vestro domino morem non geritis? Mandavitque eos baptizari : atque ita volentes nolentes baptizati omnes fuerunt.

INDICES ANALYTICI.

—

INDEX GRÆCUS IN JOANNIS MALALÆ CHRONOGRAPHIAM.

Revocatur lector ad paginas edit. Bonn. quas numeri arabici inter uncos positi in textu Græco repræsentant.

—

A

B

Γ

Δ

T

Υ

Φ

INDEX RERUM [(1)]

QUÆ IN CHRONOGRAPHIA J. MALALÆ CONTINENTUR.

—

A

(1) Ab Hodio factus monstrat paginas Oxonienses, quas numeri arabici inter uncos inclusi in textu Græco repræsentant.

D

E

S

T

U

V

Z